And the Lord had sorrow because he had made man on the earth, and grief was in his heart.
καὶ ἐνεθυμήθη ὁ θεὸς ὅτι ἐποίησεν τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς καὶ διενοήθη

7 Og Herren sa: Jeg vil utrydde menneskene som jeg har skapt, av jorden, både mennesker og fe og kryp og fuglene under himmelen; for jeg angrer at jeg har skapt dem.
And the Lord said, I will take away man, whom I have made, from the face of the earth, even man and beast and that which goes on the earth and every bird of the air; for I have sorrow for having n them.
καὶ εἶπεν ὁ θεός ἀπαλείψω τὸν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ ἀπὸ ἑρπετῶν ἕως τῶν πετεινῶν τοῦ οὐρανοῦ ὅτι ἐθυμώθην ὅτι ἐποίησα αὐτούς

8 Men Noah fant nåde for Herrens øine.
But Noah had grace in the eyes of God.
νωε δὲ εὗρεν χάριν ἐναντίον κυρίου τοῦ θεοῦ

9 Dette er historien om Noah og hans ætt: Noah var en rettferdig og ulastelig mann blandt sine samtidige; Noah vandret med Gud.
These are the generations of Noah. Noah was an upright man and without sin in his generation: he went in the ways of God.
αὗται δὲ αἱ γενέσεις νωε νωε ἄνθρωπος δίκαιος τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ τῷ θεῷ εὐηρέστησεν νωε

10 Og Noah fikk tre sønner: Sem, Kam og Jafet.
And Noah had three sons, Shem, Ham, and Japheth.
ἐγέννησεν δὲ νωε τρεῖς υἱούς τὸν σημ τὸν χαμ τὸν ιαφεθ

11 Men jorden blev fordervet for Guds åsyn, og jorden blev full av urett.
And the earth was evil in God's eyes and full of violent ways.
ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ θεοῦ καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας

12 Og Gud så på jorden, og se, den var fordervet; for alt kjød hadde fordervet sin ferd på jorden.
And God, looking on the earth, saw that it was evil: for the way of all flesh had become evil on the earth.
καὶ εἶδεν κύριος ὁ θεὸς τὴν γῆν καὶ ἦν κατεφθαρμένη ὅτι κατέφθειρεν πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς γῆς

13 Da sa Gud til Noah: Jeg har satt mig fore å gjøre ende på alt kjød, for de har fylt jorden med urett; og nu vil jeg ødelegge både dem og jorden.
And God said to Noah, The end of all flesh has come; the earth is full of their violent doings, and now I will put an end to them with the earth.
καὶ εἶπεν ὁ θεὸς πρὸς νωε καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον μου ὅτι ἐπλήσθη ἡ γῆ ἀδικίας ἀπ' αὐτῶν καὶ ἰδοὺ ἐγὼ καταφθείρω αὐτοὺς καὶ τὴν γῆν

14 Gjør dig en ark av gofertre, gjør kammer i arken og stryk den innvendig og utvendig med bek!
Make for yourself an ark of gopher wood with rooms in it, and make it safe from the water inside and out.
ποίησον οὖν σεαυτῷ κιβωτὸν ἐκ ξύλων τετραγώνων νοσσιὰς ποιήσεις τὴν κιβωτὸν καὶ ἀσφαλτώσεις αὐτὴν ἔσωθεν καὶ ἔξωθεν τῇ ἀσφάλτῳ

15 Således skal du gjøre den: Arken skal være tre hundre alen lang, femti alen bred, og tretti alen høi.
And this is the way you are to make it: it is to be three hundred cubits long, fifty cubits wide, and thirty cubits high.
καὶ οὕτως ποιήσεις τὴν κιβωτόν τριακοσίων πήχεων τὸ μῆκος τῆς κιβωτοῦ καὶ πεντήκοντα πήχεων τὸ πλάτος καὶ τριάκοντα πήχεων τὸ ὕψος αὐτῆς

16 Øverst på arken skal du gjøre en glugg som når en alen ned på veggen, og døren på arken skal du sette på den ene side; du skal bygge den i tre stokkverk, et nederste, et mellemste og et øverste, med kammer i hvert stokkverk.
You are to put a window in the ark, a cubit from the roof, and a door in the side of it, and you are to make it with a lower and second and third floors.
ἐπισυνάγων ποιήσεις τὴν κιβωτὸν καὶ εἰς πῆχυν συντελέσεις αὐτὴν ἄνωθεν τὴν δὲ θύραν τῆς κιβωτοῦ ποιήσεις ἐκ πλαγίων κατάγαια διώροφα καὶ τριώροφα ποιήσεις αὐτήν

17 Og se, jeg vil la en vannflom komme over jorden til å ødelegge alt kjød under himmelen som det er livsånde i; alt som er på jorden, skal omkomme.
For truly, I will send a great flow of waters over the earth, for the destruction from under the heaven of all flesh in which is the breath of life; everything on the earth will come to an end.
ἐγὼ δὲ ἰδοὺ ἐπάγω τὸν κατακλυσμὸν ὕδωρ ἐπὶ τὴν γῆν καταφθεῖραι πᾶσαν σάρκα ἐν ᾗ ἐστιν πνεῦμα ζωῆς ὑποκάτω τοῦ οὐρανοῦ καὶ ὅσα ἐὰν ᾖ ἐπὶ τῆς γῆς τελευτήσει

18 Men jeg vil oprette min pakt med dig, og du skal gå inn i arken, du og dine sønner og din hustru og dine sønners hustruer med dig.
But with you I will make an agreement; and you will come into the ark, you and your sons and your wife and your sons' wives with you.
καὶ στήσω τὴν διαθήκην μου πρὸς σέ εἰσελεύσῃ δὲ εἰς τὴν κιβωτόν σὺ καὶ οἱ υἱοί σου καὶ ἡ γυνή σου καὶ αἱ γυναῖκες τῶν υἱῶν σου μετὰ σοῦ

19 Og av alt som lever, av alt kjød, skal du ta et par av hvert slag med inn i arken for å holde dem i live med dig; han og hun skal det være.
And you will take with you into the ark two of every sort of living thing, and keep them safe with you; they will be male and female.
καὶ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν καὶ ἀπὸ πάντων τῶν θηρίων καὶ ἀπὸ πάσης σαρκός δύο δύο ἀπὸ πάντων εἰσάξεις εἰς τὴν κιβωτόν ἵνα τρέφῃς μετὰ σεαυτοῦ ἄρσεν καὶ θῆλυ ἐ σονται

20 Av alle slags fugler og av alle slags fe og av alle slags kryp på jorden skal par for par komme inn til dig for å holdes i live.
Two of every sort of bird and cattle and of every sort of living thing which goes on the earth will you take with you to keep them from destruction.
ἀπὸ πάντων τῶν ὀρνέων τῶν πετεινῶν κατὰ γένος καὶ ἀπὸ πάντων τῶν κτηνῶν κατὰ γένος καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν δύο δύο ἀπὸ πάντων εἰσελεύσοντ αι πρὸς σὲ τρέφεσθαι μετὰ σοῦ ἄρσεν καὶ θῆλυ

21 Og du skal ta til dig av allslags mat som etes, og samle det hos dig, sa det kan være til føde for dig og for dem.
And make a store of every sort of food for yourself and them.
σὺ δὲ λήμψῃ σεαυτῷ ἀπὸ πάντων τῶν βρωμάτων ἃ ἔδεσθε καὶ συνάξεις πρὸς σεαυτόν καὶ ἔσται σοὶ καὶ ἐκείνοις φαγεῖν

22 Og Noah gjorde så; han gjorde i ett og alt som Gud hadde befalt ham.
And all these things Noah did; as God said, so he did.
καὶ ἐποίησεν νωε πάντα ὅσα ἐνετείλατο αὐτῷ κύριος ὁ θεός οὕτως ἐποίησεν

1 Så sa Herren til Noah: Gå inn i arken, du og hele ditt hus! For jeg har funnet at du er rettferdig for mitt åsyn i denne slekt.
And the Lord said to Noah, Take all your family and go into the ark, for you only in this generation have I seen to be upright.
καὶ εἶπεν κύριος ὁ θεὸς πρὸς νωε εἴσελθε σὺ καὶ πᾶς ὁ οἶκός σου εἰς τὴν κιβωτόν ὅτι σὲ εἶδον δίκαιον ἐναντίον μου ἐν τῇ γενεᾷ ταύτῃ

2 Av alle rene dyr skal du ta dig ut syv par, han og hun, men av de dyr som ikke er rene, ett par, han og hun;
Of every clean beast you will take seven males and seven females, and of the beasts which are not clean, two, the male and his female;
ἀπὸ δὲ τῶν κτηνῶν τῶν καθαρῶν εἰσάγαγε πρὸς σὲ ἑπτὰ ἑπτά ἄρσεν καὶ θῆλυ ἀπὸ δὲ τῶν κτηνῶν τῶν μὴ καθαρῶν δύο δύο ἄρσεν καὶ θῆλυ

3 likeså av himmelens fugler syv par, han og hun, for å holde deres slekter i live på jorden.
And of the birds of the air, seven males and seven females, so that their seed may still be living on the face of the earth.
καὶ ἀπὸ τῶν πετεινῶν τοῦ οὐρανοῦ τῶν καθαρῶν ἑπτὰ ἑπτά ἄρσεν καὶ θῆλυ καὶ ἀπὸ τῶν πετεινῶν τῶν μὴ καθαρῶν δύο δύο ἄρσεν καὶ θῆλυ διαθρέψαι σπέρμα ἐπὶ πᾶσαν τὴν γῆν

4 For om syv dager vil jeg la det regne på jorden i firti dager og firti netter, og jeg vil utrydde av jorden alt levende som jeg har skapt.
For after seven days I will send rain on the earth for forty days and forty nights, for the destruction of every living thing which I have made on the face of the earth.
ἔτι γὰρ ἡμερῶν ἑπτὰ ἐγὼ ἐπάγω ὑετὸν ἐπὶ τὴν γῆν τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας καὶ ἐξαλείψω πᾶσαν τὴν ἐξανάστασιν ἣν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς

5 Og Noah gjorde i ett og alt som Herren hadde befalt ham.
And Noah did everything which the Lord said he was to do.
καὶ ἐποίησεν νωε πάντα ὅσα ἐνετείλατο αὐτῷ κύριος ὁ θεός

6 Noah var seks hundre år gammel da vannflommen kom over jorden.
And Noah was six hundred years old when the waters came flowing over all the earth.
νωε δὲ ἦν ἐτῶν ἑξακοσίων καὶ ὁ κατακλυσμὸς ἐγένετο ὕδατος ἐπὶ τῆς γῆς

7 Da gikk Noah og hans sønner og hans hustru og hans sønners hustruer med ham inn i arken for å berge sig for vannflommen.
And Noah, with his sons and his wife and his sons' wives, went into the ark because of the flowing of the waters.
εἰσῆλθεν δὲ νωε καὶ οἱ υἱοὶ αὐτοῦ καὶ ἡ γυνὴ αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ εἰς τὴν κιβωτὸν διὰ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ

8 Av de rene dyr og av de dyr som ikke er rene, og av fuglene og av alt det som kryper på jorden,
Of clean beasts, and of beasts which are not clean, and of birds, and of everything which goes on the earth,
καὶ ἀπὸ τῶν πετεινῶν καὶ ἀπὸ τῶν κτηνῶν τῶν καθαρῶν καὶ ἀπὸ τῶν κτηνῶν τῶν μὴ καθαρῶν καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἐπὶ τῆς γῆς

9 gikk par for par inn til Noah i arken, han og hun, således som Gud hadde befalt Noah.
In twos, male and female, they went into the ark with Noah, as God had said.
δύο δύο εἰσῆλθον πρὸς νωε εἰς τὴν κιβωτόν ἄρσεν καὶ θῆλυ καθὰ ἐνετείλατο αὐτῷ ὁ θεός

10 Da nu de syv dager var til ende, kom flommens vann strømmende over jorden.
And after the seven days, the waters came over all the earth.
καὶ ἐγένετο μετὰ τὰς ἑπτὰ ἡμέρας καὶ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ ἐγένετο ἐπὶ τῆς γῆς

11 I det år da Noah var seks hundre år gammel, i den annen måned, den syttende dag i måneden, den dag brast alle kilder i det store dyp, og himmelens sluser åpnedes,
In the six hundredth year of Noah's life, in the second month, on the seventeenth day of the month, all the fountains of the great deep came bursting through, and the windows of heaven were open;
ἐν τῷ ἑξακοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ νωε τοῦ δευτέρου μηνός ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός τῇ ἡμέρᾳ ταύτῃ ἐρράγησαν πᾶσαι αἱ πηγαὶ τῆς ἀβύσσου καὶ οἱ καταρράκται τοῦ οὐρανοῦ ἠνεῴχθησαν

12 og regnet strømmet ned på jorden i firti dager og firti netter.
And rain came down on the earth for forty days and forty nights.
καὶ ἐγένετο ὁ ὑετὸς ἐπὶ τῆς γῆς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας

13 På denne samme dag gikk Noah og Sem og Kam og Jafet, Noahs sønner, og Noahs hustru og hans sønners tre hustruer med dem inn i arken,
On the same day Noah, with Shem, Ham, and Japheth, his sons, and his wife and his sons' wives, went into the ark;
ἐν τῇ ἡμέρᾳ ταύτῃ εἰσῆλθεν νωε σημ χαμ ιαφεθ υἱοὶ νωε καὶ ἡ γυνὴ νωε καὶ αἱ τρεῖς γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ εἰς τὴν κιβωτόν

14 de og alle de ville dyr efter sitt slag og alt feet efter sitt slag og alt krypet som rører sig på jorden, efter sitt slag og alle fuglene efter sitt slag, alt som flyver, alt som har vinger.
And with them, every sort of beast and cattle, and every sort of thing which goes on the earth, and every sort of bird.
καὶ πάντα τὰ θηρία κατὰ γένος καὶ πάντα τὰ κτήνη κατὰ γένος καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς κατὰ γένος καὶ πᾶν πετεινὸν κατὰ γένος

15 Og de gikk inn til Noah i arken, par for par av alt kjød som det var livsånde i.
They went with Noah into the ark, two and two of all flesh in which is the breath of life.
εἰσῆλθον πρὸς νωε εἰς τὴν κιβωτόν δύο δύο ἀπὸ πάσης σαρκός ἐν ᾧ ἐστιν πνεῦμα ζωῆς

16 Og de som gikk inn, var han og hun av alt kjød, således som Gud hadde befalt ham. Og Herren lukket efter ham.
Male and female of all flesh went in, as God had said, and the ark was shut by the Lord.
καὶ τὰ εἰσπορευόμενα ἄρσεν καὶ θῆλυ ἀπὸ πάσης σαρκὸς εἰσῆλθεν καθὰ ἐνετείλατο ὁ θεὸς τῷ νωε καὶ ἔκλεισεν κύριος ὁ θεὸς ἔξωθεν αὐτοῦ τὴν κιβωτόν

17 Da kom vannflommen strømmende over jorden i firti dager, og vannet vokste og løftet arken, og den blev hevet over jorden.
And for forty days the waters were over all the earth; and the waters were increased so that the ark was lifted up high over the earth.
καὶ ἐγένετο ὁ κατακλυσμὸς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἐπὶ τῆς γῆς καὶ ἐπληθύνθη τὸ ὕδωρ καὶ ἐπῆρεν τὴν κιβωτόν καὶ ὑψώθη ἀπὸ τῆς γῆς

18 Og vannet steg og øket storlig over jorden; og arken fløt bortover vannflaten.
And the waters overcame everything and were increased greatly on the earth, and the ark was resting on the face of the waters.
καὶ ἐπεκράτει τὸ ὕδωρ καὶ ἐπληθύνετο σφόδρα ἐπὶ τῆς γῆς καὶ ἐπεφέρετο ἡ κιβωτὸς ἐπάνω τοῦ ὕδατος

19 Og vannet steg høiere og høiere over jorden, så alle de høie fjell under hele himmelen blev skjult.
And the waters overcame everything on the earth; and all the mountains under heaven were covered.
τὸ δὲ ὕδωρ ἐπεκράτει σφόδρα σφοδρῶς ἐπὶ τῆς γῆς καὶ ἐπεκάλυψεν πάντα τὰ ὄρη τὰ ὑψηλά ἃ ἦν ὑποκάτω τοῦ οὐρανοῦ

20 Femten alen høit steg vannet over fjellene, så de skjultes.
The waters went fifteen cubits higher, till all the mountains were covered.
δέκα πέντε πήχεις ἐπάνω ὑψώθη τὸ ὕδωρ καὶ ἐπεκάλυψεν πάντα τὰ ὄρη τὰ ὑψηλά

21 Da omkom alt kjød som rørte sig på jorden, både fuglene og feet og de ville dyr og alt det som yrte og vrimlet på jorden, og alle menneskene.
And destruction came on every living thing moving on the earth, birds and cattle and beasts and everything which went on the earth, and every man.
καὶ ἀπέθανεν πᾶσα σὰρξ κινουμένη ἐπὶ τῆς γῆς τῶν πετεινῶν καὶ τῶν κτηνῶν καὶ τῶν θηρίων καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς καὶ πᾶς ἄνθρωπος

22 Alt som hadde livsens åndedrag i sin nese, alt det som var på det tørre land, døde.
Everything on the dry land, in which was the breath of life, came to its end.
καὶ πάντα ὅσα ἔχει πνοὴν ζωῆς καὶ πᾶς ὃς ἦν ἐπὶ τῆς ξηρᾶς ἀπέθανεν

23 Og han* utryddet hvert liv som var på jorden, både mennesker og fe og kryp og fuglene under himmelen; de blev utryddet av jorden, og bare Noah blev igjen, og det som var med ham i arken. / <* Gud.>
Every living thing on the face of all the earth, man and cattle and things moving on the face of the earth, and birds of the air, came to destruction: only Noah and those who were with him in the ark, kept from death.
καὶ ἐξήλειψεν πᾶν τὸ ἀνάστημα ὃ ἦν ἐπὶ προσώπου πάσης τῆς γῆς ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ ἑρπετῶν καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ ἐξηλείφθησαν ἀπὸ τῆς γῆς καὶ κατελείφθη μόνος νωε κα ὶ οἱ μετ' αὐτοῦ ἐν τῇ κιβωτῷ

24 Og vannet holdt sig over jorden i hundre og femti dager.
And the waters were over the earth a hundred and fifty days.
καὶ ὑψώθη τὸ ὕδωρ ἐπὶ τῆς γῆς ἡμέρας ἑκατὸν πεντήκοντα

1 Da kom Gud Noah i hu og alle de ville dyr og alt feet som var med ham i arken; og Gud lot en vind fare over jorden, og vannet falt.
And God kept Noah in mind, and all the living things and the cattle which were with him in the ark: and God sent a wind over the earth, and the waters went down.
καὶ ἐμνήσθη ὁ θεὸς τοῦ νωε καὶ πάντων τῶν θηρίων καὶ πάντων τῶν κτηνῶν καὶ πάντων τῶν πετεινῶν καὶ πάντων τῶν ἑρπετῶν ὅσα ἦν μετ' αὐτοῦ ἐν τῇ κιβωτῷ καὶ ἐπήγαγεν ὁ θεὸς πνεῦμα ἐπὶ τὴν γ ῆν καὶ ἐκόπασεν τὸ ὕδωρ

2 Og det store dyps kilder og himmelens sluser lukkedes, og regnet fra himmelen stanset.
And the fountains of the deep and the windows of heaven were shut, and the rain from heaven was stopped.
καὶ ἐπεκαλύφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου καὶ οἱ καταρράκται τοῦ οὐρανοῦ καὶ συνεσχέθη ὁ ὑετὸς ἀπὸ τοῦ οὐρανοῦ

3 Og vannet vek efterhånden tilbake fra jorden, og vannet begynte å ta av, da hundre og femti dager var gått.
And the waters went slowly back from the earth, and at the end of a hundred and fifty days the waters were lower.
καὶ ἐνεδίδου τὸ ὕδωρ πορευόμενον ἀπὸ τῆς γῆς ἐνεδίδου καὶ ἠλαττονοῦτο τὸ ὕδωρ μετὰ πεντήκοντα καὶ ἑκατὸν ἡμέρας

4 Og i den syvende måned, på den syttende dag i måneden, blev arken stående på Ararat-fjellene.
And on the seventeenth day of the seventh month the ark came to rest on the mountains of Ararat.
καὶ ἐκάθισεν ἡ κιβωτὸς ἐν μηνὶ τῷ ἑβδόμῳ ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός ἐπὶ τὰ ὄρη τὰ αραρατ

5 Og vannet tok mere og mere av inntil den tiende måned; i den tiende måned, på den første dag i måneden, kom fjelltoppene til syne.
And still the waters went on falling, till on the first day of the tenth month the tops of the mountains were seen.
τὸ δὲ ὕδωρ πορευόμενον ἠλαττονοῦτο ἕως τοῦ δεκάτου μηνός ἐν δὲ τῷ ἑνδεκάτῳ μηνί τῇ πρώτῃ τοῦ μηνός ὤφθησαν αἱ κεφαλαὶ τῶν ὀρέων

6 Og da firti dager var gått, åpnet Noah vinduet på arken som han hadde gjort,
Then, after forty days, through the open window of the ark which he had made,
καὶ ἐγένετο μετὰ τεσσαράκοντα ἡμέρας ἠνέῳξεν νωε τὴν θυρίδα τῆς κιβωτοῦ ἣν ἐποίησεν

7 og sendte ut en ravn; den fløi frem og tilbake, inntil vannet var tørket bort av jorden.
Noah sent out a raven, which went this way and that till the waters were gone from the earth.
καὶ ἀπέστειλεν τὸν κόρακα τοῦ ἰδεῖν εἰ κεκόπακεν τὸ ὕδωρ καὶ ἐξελθὼν οὐχ ὑπέστρεψεν ἕως τοῦ ξηρανθῆναι τὸ ὕδωρ ἀπὸ τῆς γῆς

8 Så sendte han en due ut fra sig for å se om vannet var sunket bort fra jordens overflate.
And he sent out a dove, to see if the waters had gone from the face of the earth;
καὶ ἀπέστειλεν τὴν περιστερὰν ὀπίσω αὐτοῦ ἰδεῖν εἰ κεκόπακεν τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς

9 Men duen fant ikke noget hvilested for sin fot, og den kom tilbake til ham i arken, for det stod vann over hele jorden. Da rakte han ut sin hånd og tok den inn til sig i arken.
But the dove saw no resting-place for her foot, and came back to the ark, for the waters were still over all the earth; and he put out his hand, and took her into the ark.
καὶ οὐχ εὑροῦσα ἡ περιστερὰ ἀνάπαυσιν τοῖς ποσὶν αὐτῆς ὑπέστρεψεν πρὸς αὐτὸν εἰς τὴν κιβωτόν ὅτι ὕδωρ ἦν ἐπὶ παντὶ προσώπῳ πάσης τῆς γῆς καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἔλαβεν αὐτὴν καὶ εἰσήγαγεν αὐτὴν πρὸς ἑαυτὸν εἰς τὴν κιβωτόν

10 Så bidde han ennu syv dager til og sendte så atter duen ut av arken.
And after waiting another seven days, he sent the dove out again;
καὶ ἐπισχὼν ἔτι ἡμέρας ἑπτὰ ἑτέρας πάλιν ἐξαπέστειλεν τὴν περιστερὰν ἐκ τῆς κιβωτοῦ

11 Og duen kom til ham ved aftenstid, og se, den hadde et friskt oljeblad i nebbet; da skjønte Noah at vannet var sunket bort fra jorden.
And the dove came back at evening, and in her mouth was an olive-leaf broken off: so Noah was certain that the waters had gone down on the earth.
καὶ ἀνέστρεψεν πρὸς αὐτὸν ἡ περιστερὰ τὸ πρὸς ἑσπέραν καὶ εἶχεν φύλλον ἐλαίας κάρφος ἐν τῷ στόματι αὐτῆς καὶ ἔγνω νωε ὅτι κεκόπακεν τὸ ὕδωρ ἀπὸ τῆς γῆς

12 Men han bidde ennu syv dager til; så sendte han duen ut, og da kom den ikke tilbake til ham mere.
And after seven days more, he sent the dove out again, but she did not come back to him.
καὶ ἐπισχὼν ἔτι ἡμέρας ἑπτὰ ἑτέρας πάλιν ἐξαπέστειλεν τὴν περιστεράν καὶ οὐ προσέθετο τοῦ ἐπιστρέψαι πρὸς αὐτὸν ἔτι

13 I det seks hundre og første år, i den første måned, på den første dag i måneden, var vannet tørket bort fra jorden. Da tok Noah taket av arken; og han så ut, og se, jorden var tørr.
And in the six hundred and first year, on the first day of the first month, the waters were dry on the earth: and Noah took the cover off the ark and saw that the face of the earth was dry.
καὶ ἐγένετο ἐν τῷ ἑνὶ καὶ ἑξακοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ νωε τοῦ πρώτου μηνός μιᾷ τοῦ μηνός ἐξέλιπεν τὸ ὕδωρ ἀπὸ τῆς γῆς καὶ ἀπεκάλυψεν νωε τὴν στέγην τῆς κιβωτοῦ ἣν ἐποίησεν καὶ εἶδεν ὅτι ἐξέλιπεν τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς

14 Og i den annen måned, på den syv og tyvende dag i måneden, var jorden aldeles tørr.
And on the twenty-seventh day of the second month the earth was dry.
ἐν δὲ τῷ μηνὶ τῷ δευτέρῳ ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός ἐξηράνθη ἡ γῆ

15 Da talte Gud til Noah og sa:
And God said to Noah,
καὶ εἶπεν κύριος ὁ θεὸς τῷ νωε λέγων

16 Gå ut av arken, du og din hustru og dine sønner og dine sønners hustruer med dig.
Go out of the ark, you and your wife and your sons and your sons' wives.
ἔξελθε ἐκ τῆς κιβωτοῦ σὺ καὶ ἡ γυνή σου καὶ οἱ υἱοί σου καὶ αἱ γυναῖκες τῶν υἱῶν σου μετὰ σοῦ

17 Alle de dyr som er hos dig, alt kjød, både fuglene og feet og alt krypet som rører sig på jorden, skal du føre ut med dig, og de skal vrimle på jorden og være fruktbare og bli mange på jorden.
Take out with you every living thing which is with you, birds and cattle and everything which goes on the earth, so that they may have offspring and be fertile and be increased on the earth.
καὶ πάντα τὰ θηρία ὅσα ἐστὶν μετὰ σοῦ καὶ πᾶσα σὰρξ ἀπὸ πετεινῶν ἕως κτηνῶν καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς ἐξάγαγε μετὰ σεαυτοῦ καὶ αὐξάνεσθε καὶ πληθύνεσθε ἐπὶ τῆς γῆς

18 Så gikk han ut, og hans sønner og hans hustru og hans sønners hustruer med ham.
And Noah went out with his sons and his wife and his sons' wives;
καὶ ἐξῆλθεν νωε καὶ ἡ γυνὴ αὐτοῦ καὶ οἱ υἱοὶ αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ

19 Alle dyrene, alt krypet og alle fuglene, alt som rører sig på jorden, gikk ut av arken, hvert efter sitt slag.
And every beast and bird and every living thing of every sort which goes on the earth, went out of the ark.
καὶ πάντα τὰ θηρία καὶ πάντα τὰ κτήνη καὶ πᾶν πετεινὸν καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν ἐξῆλθοσαν ἐκ τῆς κιβωτοῦ

20 Og Noah bygget Herren et alter, og han tok av alle de rene dyr og av alle de rene fugler og ofret brennoffer på alteret.
And Noah made an altar to the Lord, and from every clean beast and bird he made burned offerings on the altar.
καὶ ᾠκοδόμησεν νωε θυσιαστήριον τῷ θεῷ καὶ ἔλαβεν ἀπὸ πάντων τῶν κτηνῶν τῶν καθαρῶν καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν καθαρῶν καὶ ἀνήνεγκεν ὁλοκαρπώσεις ἐπὶ τὸ θυσιαστήριον

21 Og Herren kjente den velbehagelige duft. Og Herren sa i sitt hjerte: Jeg vil aldri mere forbanne jorden for menneskets skyld; for menneskehjertets tanker er onde fra ungdommen av; og jeg vil aldri mere drepe alt levende, som jeg nu har gjort.
And when the sweet smell came up to the Lord, he said in his heart, I will not again put a curse on the earth because of man, for the thoughts of man's heart are evil from his earliest days; never again will I send destruction on all living things as I have done.
καὶ ὠσφράνθη κύριος ὁ θεὸς ὀσμὴν εὐωδίας καὶ εἶπεν κύριος ὁ θεὸς διανοηθείς οὐ προσθήσω ἔτι τοῦ καταράσασθαι τὴν γῆν διὰ τὰ ἔργα τῶν ἀνθρώπων ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶ ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος οὐ προσθήσω οὖν ἔτι πατάξαι πᾶσαν σάρκα ζῶσαν καθὼς ἐποίησα

22 Herefter skal, så lenge jorden står, sæd og høst, og frost og hete, og sommer og vinter, og dag og natt aldri høre op.
While the earth goes on, seed time and the getting in of the grain, cold and heat, summer and winter, day and night, will not come to an end.
πάσας τὰς ἡμέρας τῆς γῆς σπέρμα καὶ θερισμός ψῦχος καὶ καῦμα θέρος καὶ ἔαρ ἡμέραν καὶ νύκτα οὐ καταπαύσουσιν

1 Og Gud velsignet Noah og hans sønner, og sa til dem: Vær fruktbare og bli mange og opfyll jorden!
And God gave his blessing to Noah and his sons, and said, Be fertile, and have increase, and make the earth full.
καὶ ηὐλόγησεν ὁ θεὸς τὸν νωε καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπεν αὐτοῖς αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς

2 Og frykt og redsel for eder skal være over alle dyr på jorden og over alle fugler under himmelen, over alt det som rører sig på jorden, og over alle fiskene i havet; i eders hånd er de gitt.
And the fear of you will be strong in every beast of the earth and every bird of the air; everything which goes on the land, and all the fishes of the sea, are given into your hands.
καὶ ὁ τρόμος ὑμῶν καὶ ὁ φόβος ἔσται ἐπὶ πᾶσιν τοῖς θηρίοις τῆς γῆς καὶ ἐπὶ πάντα τὰ ὄρνεα τοῦ οὐρανοῦ καὶ ἐπὶ πάντα τὰ κινούμενα ἐπὶ τῆς γῆς καὶ ἐπὶ πάντας τοὺς ἰχθύας τῆς θαλάσσης ὑπὸ χεῖρας ὑ μῖν δέδωκα

3 Alt det som rører sig og lever, skal I ha til føde; likesom jeg gav eder de grønne urter, gir jeg eder alt dette.
Every living and moving thing will be food for you; I give them all to you as before I gave you all green things.
καὶ πᾶν ἑρπετόν ὃ ἐστιν ζῶν ὑμῖν ἔσται εἰς βρῶσιν ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα

4 Men kjøtt med dets sjel i, det er dets blod, skal I ikke ete.
But flesh with the life-blood in it you may not take for food.
πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε

5 Men for eders eget blod vil jeg kreve hevn; av hvert dyr vil jeg kreve hevn for det, og av mennesket, av enhvers bror, vil jeg kreve hevn for menneskets liv.
And for your blood, which is your life, will I take payment; from every beast I will take it, and from every man will I take payment for the blood of his brother-man.
καὶ γὰρ τὸ ὑμέτερον αἷμα τῶν ψυχῶν ὑμῶν ἐκζητήσω ἐκ χειρὸς πάντων τῶν θηρίων ἐκζητήσω αὐτὸ καὶ ἐκ χειρὸς ἀνθρώπου ἀδελφοῦ ἐκζητήσω τὴν ψυχὴν τοῦ ἀνθρώπου

6 Den som utøser menneskets blod, ved mennesket skal hans blod utøses; for i Guds billede skapte han* mennesket. / <* Gud.>
Whoever takes a man's life, by man will his life be taken; because God made man in his image.
ὁ ἐκχέων αἷμα ἀνθρώπου ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται ὅτι ἐν εἰκόνι θεοῦ ἐποίησα τὸν ἄνθρωπον

7 Og vær I fruktbare og bli mange, vrimle på jorden og bli mange på den!
And now, be fertile and have increase; have offspring on the earth and become great in number.
ὑμεῖς δὲ αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ πληθύνεσθε ἐπ' αὐτῆς

8 Og Gud sa til Noah og til hans sønner, som var med ham:
And God said to Noah and to his sons,
καὶ εἶπεν ὁ θεὸς τῷ νωε καὶ τοῖς υἱοῖς αὐτοῦ μετ' αὐτοῦ λέγων

9 Nu vil jeg oprette min pakt med eder og med eders efterkommere,
Truly, I will make my agreement with you and with your seed after you,
ἐγὼ ἰδοὺ ἀνίστημι τὴν διαθήκην μου ὑμῖν καὶ τῷ σπέρματι ὑμῶν μεθ' ὑμᾶς

10 og med alt levende som er hos eder, både fugler og fe og alle de ville dyr som er hos eder, alt som gikk ut av arken, alt som lever på jorden.
And with every living thing with you, all birds and cattle and every beast of the earth which comes out of the ark with you.
καὶ πάσῃ ψυχῇ τῇ ζώσῃ μεθ' ὑμῶν ἀπὸ ὀρνέων καὶ ἀπὸ κτηνῶν καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς ὅσα μεθ' ὑμῶν ἀπὸ πάντων τῶν ἐξελθόντων ἐκ τῆς κιβωτοῦ

11 Jeg opretter min pakt med eder, og aldri mere skal alt kjød utryddes ved vannflom, og aldri mere skal der komme en vannflom som ødelegger jorden.
And I will make my agreement with you; never again will all flesh be cut off by the waters; never again will the waters come over all the earth for its destruction.
καὶ στήσω τὴν διαθήκην μου πρὸς ὑμᾶς καὶ οὐκ ἀποθανεῖται πᾶσα σὰρξ ἔτι ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ καὶ οὐκ ἔσται ἔτι κατακλυσμὸς ὕδατος τοῦ καταφθεῖραι πᾶσαν τὴν γῆν

12 Og Gud sa: Dette er tegnet på den pakt som jeg gjør mellem mig og eder og alt levende som er hos eder, til evige tider:
And God said, This is the sign of the agreement which I make between me and you and every living thing with you, for all future generations:
καὶ εἶπεν κύριος ὁ θεὸς πρὸς νωε τοῦτο τὸ σημεῖον τῆς διαθήκης ὃ ἐγὼ δίδωμι ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἥ ἐστιν μεθ' ὑμῶν εἰς γενεὰς αἰωνίους

13 Min bue setter jeg i skyen, og den skal være et tegn på pakten mellem mig og jorden.
I will put my bow in the cloud and it will be for a sign of the agreement between me and the earth.
τὸ τόξον μου τίθημι ἐν τῇ νεφέλῃ καὶ ἔσται εἰς σημεῖον διαθήκης ἀνὰ μέσον ἐμοῦ καὶ τῆς γῆς

14 Og når jeg fører skyer over jorden, og buen sees i skyen,
And whenever I make a cloud come over the earth, the bow will be seen in the cloud,
καὶ ἔσται ἐν τῷ συννεφεῖν με νεφέλας ἐπὶ τὴν γῆν ὀφθήσεται τὸ τόξον μου ἐν τῇ νεφέλῃ

15 da vil jeg komme i hu den pakt som er mellem mig og eder og alt levende av alt kjød, og vannet skal aldri mere bli en flom som ødelegger alt kjød.
And I will keep in mind the agreement between me and you and every living thing; and never again will there be a great flow of waters causing destruction to all flesh.
καὶ μνησθήσομαι τῆς διαθήκης μου ἥ ἐστιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἐν πάσῃ σαρκί καὶ οὐκ ἔσται ἔτι τὸ ὕδωρ εἰς κατακλυσμὸν ὥστε ἐξαλεῖψαι πᾶσαν σάρκα

16 Og buen skal stå i skyen, og jeg vil se på den og komme i hu den evige pakt mellem Gud og alt levende av alt kjød som er på jorden.
And the bow will be in the cloud, and looking on it, I will keep in mind the eternal agreement between God and every living thing on the earth.
καὶ ἔσται τὸ τόξον μου ἐν τῇ νεφέλῃ καὶ ὄψομαι τοῦ μνησθῆναι διαθήκην αἰώνιον ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἐν πάσῃ σαρκί ἥ ἐστιν ἐπὶ τῆς γῆς

17 Og Gud sa til Noah: Dette er tegnet på den pakt jeg har oprettet mellem mig og alt kjød som er på jorden.
And God said to Noah, This is the sign of the agreement which I have made between me and all flesh on the earth.
καὶ εἶπεν ὁ θεὸς τῷ νωε τοῦτο τὸ σημεῖον τῆς διαθήκης ἧς διεθέμην ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον πάσης σαρκός ἥ ἐστιν ἐπὶ τῆς γῆς

18 Noahs sønner, som gikk ut av arken, var Sem, Kam og Jafet; og Kam var far til Kana'an.
And the sons of Noah who went out of the ark were Shem, Ham, and Japheth; and Ham is the father of Canaan.
ἦσαν δὲ οἱ υἱοὶ νωε οἱ ἐξελθόντες ἐκ τῆς κιβωτοῦ σημ χαμ ιαφεθ χαμ ἦν πατὴρ χανααν

19 Disse tre var Noahs sønner, og fra dem bredte menneskene sig ut over hele jorden.
These three were the sons of Noah and from them all the earth was peopled.
τρεῖς οὗτοί εἰσιν οἱ υἱοὶ νωε ἀπὸ τούτων διεσπάρησαν ἐπὶ πᾶσαν τὴν γῆν

20 Og Noah var jorddyrker, og han var den første som plantet en vingård.
In those days Noah became a farmer, and he made a vine-garden.
καὶ ἤρξατο νωε ἄνθρωπος γεωργὸς γῆς καὶ ἐφύτευσεν ἀμπελῶνα

21 Og han drakk av vinen og blev drukken, og han klædde sig naken inne i sitt telt.
And he took of the wine of it and was overcome by drink; and he was uncovered in his tent.
καὶ ἔπιεν ἐκ τοῦ οἴνου καὶ ἐμεθύσθη καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ

22 Og da Kam, Kana'ans far, så sin far ligge naken, fortalte han det til begge sine brødre, som var utenfor.
And Ham, the father of Canaan, saw his father unclothed, and gave news of it to his two brothers outside.
καὶ εἶδεν χαμ ὁ πατὴρ χανααν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ καὶ ἐξελθὼν ἀνήγγειλεν τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ ἔξω

23 Da tok Sem og Jafet et klæde og la det på sine skuldrer og gikk baklengs inn og dekket over sin fars blusel; og de vendte sine øine bort, så de ikke så sin fars blusel.
And Shem and Japheth took a robe, and putting it on their backs went in with their faces turned away, and put it over their father so that they might not see him unclothed.
καὶ λαβόντες σημ καὶ ιαφεθ τὸ ἱμάτιον ἐπέθεντο ἐπὶ τὰ δύο νῶτα αὐτῶν καὶ ἐπορεύθησαν ὀπισθοφανῶς καὶ συνεκάλυψαν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν καὶ τὸ πρόσωπον αὐτῶν ὀπισθοφανές καὶ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον

24 Da så Noah våknet av sitt rus, fikk han vite hvad hans yngste sønn hadde gjort imot ham.
And, awaking from his wine, Noah saw what his youngest son had done to him, and he said,
ἐξένηψεν δὲ νωε ἀπὸ τοῦ οἴνου καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος

25 Da sa han: Forbannet være Kana'an! trælers træl skal han være for sine brødre.
Cursed be Canaan; let him be a servant of servants to his brothers.
καὶ εἶπεν ἐπικατάρατος χανααν παῖς οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ

26 Så sa han: Lovet være Herren, Sems Gud, og Kana'an være deres træl!
And he said, Praise to the Lord, the God of Shem; let Canaan be his servant.
καὶ εἶπεν εὐλογητὸς κύριος ὁ θεὸς τοῦ σημ καὶ ἔσται χανααν παῖς αὐτοῦ

27 Gud gjøre det vidt for Jafet, han skal bo i Sems telter, og Kana'an være deres træl!
May God make Japheth great, and let his living-place be in the tents of Shem, and let Canaan be his servant.
πλατύναι ὁ θεὸς τῷ ιαφεθ καὶ κατοικησάτω ἐν τοῖς οἴκοις τοῦ σημ καὶ γενηθήτω χανααν παῖς αὐτῶν

28 Efter vannflommen levde Noah ennu tre hundre og femti år.
And Noah went on living three hundred and fifty years after the great flow of waters;
ἔζησεν δὲ νωε μετὰ τὸν κατακλυσμὸν τριακόσια πεντήκοντα ἔτη

29 Og alle Noahs dager blev ni hundre og femti år; så døde han.
all the years of his life were nine hundred and fifty: and he came to his end.
καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι νωε ἐννακόσια πεντήκοντα ἔτη καὶ ἀπέθανεν

1 Dette er de ætter som stammer fra Noahs sønner Sem, Kam og Jafet: De fikk sønner efter vannflommen.
Now these are the generations of the sons of Noah, Shem, Ham, and Japheth: these are the sons which they had after the great flow of waters
αὗται δὲ αἱ γενέσεις τῶν υἱῶν νωε σημ χαμ ιαφεθ καὶ ἐγενήθησαν αὐτοῖς υἱοὶ μετὰ τὸν κατακλυσμόν

2 Jafets sønner var Gomer og Magog og Madai og Javan og Tubal og Mesek og Tiras.
The sons of Japheth: Gomer and Magog and Madai and Javan and Tubal and Meshech and Tiras.
υἱοὶ ιαφεθ γαμερ καὶ μαγωγ καὶ μαδαι καὶ ιωυαν καὶ ελισα καὶ θοβελ καὶ μοσοχ καὶ θιρας

3 Og Gomers sønner var Askenas og Rifat og Togarma.
And the sons of Gomer: Ashkenaz and Riphath and Togarmah.
καὶ υἱοὶ γαμερ ασχαναζ καὶ ριφαθ καὶ θοργαμα

4 Og Javans sønner var Elisa og Tarsis, Kittim og Dodanim.
And the sons of Javan: Elishah and Tarshish, the Kittim and the Dodanim.
καὶ υἱοὶ ιωυαν ελισα καὶ θαρσις κίτιοι ῥόδιοι

5 Fra disse bredte de som bor på hedningenes kyster, sig ut i sine land, med sine forskjellige tungemål, efter sine ætter, i sine folkeslag.
From these came the nations of the sea-lands, with their different families and languages.
ἐκ τούτων ἀφωρίσθησαν νῆσοι τῶν ἐθνῶν ἐν τῇ γῇ αὐτῶν ἕκαστος κατὰ γλῶσσαν ἐν ταῖς φυλαῖς αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν

6 Og Kams sønner var Kus og Misra'im og Put og Kana'an.
And the sons of Ham: Cush and Mizraim and Put and Canaan.
υἱοὶ δὲ χαμ χους καὶ μεσραιμ φουδ καὶ χανααν

7 Og Kus' sønner var Seba og Havila og Sabta og Raema og Sabteka, og Raemas sønner var Sjeba og Dedan.
And the sons of Cush: Seba and Havilah and Sabtah and Raamah and Sabteca; and the sons of Raamah: Sheba and Dedan.
υἱοὶ δὲ χους σαβα καὶ ευιλα καὶ σαβαθα καὶ ρεγμα καὶ σαβακαθα υἱοὶ δὲ ρεγμα σαβα καὶ δαδαν

8 Og Kus fikk sønnen Nimrod; han var den første som fikk stort velde på jorden.
And Cush was the father of Nimrod, who was the first of the great men of the earth.
χους δὲ ἐγέννησεν τὸν νεβρωδ οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς

9 Han var en veldig jeger for Herrens åsyn; derfor sier folk: En veldig jeger for Herrens åsyn som Nimrod.
He was a very great bowman, so that there is a saying, Like Nimrod, a very great bowman.
οὗτος ἦν γίγας κυνηγὸς ἐναντίον κυρίου τοῦ θεοῦ διὰ τοῦτο ἐροῦσιν ὡς νεβρωδ γίγας κυνηγὸς ἐναντίον κυρίου

10 Først hersket han over Babel og Erek og Akkad og Kalne i landet Sinear.
And at the first, his kingdom was Babel and Erech and Accad and Calneh, in the land of Shinar.
καὶ ἐγένετο ἀρχὴ τῆς βασιλείας αὐτοῦ βαβυλὼν καὶ ορεχ καὶ αρχαδ καὶ χαλαννη ἐν τῇ γῇ σεννααρ

11 Fra dette land drog han ut til Assur og bygget Ninive og Rehobot-Ir og Kalah
From that land he went out into Assyria, building Nineveh with its wide streets and Calah,
ἐκ τῆς γῆς ἐκείνης ἐξῆλθεν ασσουρ καὶ ᾠκοδόμησεν τὴν νινευη καὶ τὴν ροωβωθ πόλιν καὶ τὴν χαλαχ

12 og Resen mellem Ninive og Kalah; dette er den store stad.
And Resen between Nineveh and Calah, which is a very great town.
καὶ τὴν δασεμ ἀνὰ μέσον νινευη καὶ ἀνὰ μέσον χαλαχ αὕτη ἡ πόλις ἡ μεγάλη

13 Og Misra'im blev stamfar til luderne og anamerne og lehaberne og naftuherne
And Mizraim was the father of the Ludim and Anamim and Lehabim and Naphtuhim;
καὶ μεσραιμ ἐγέννησεν τοὺς λουδιμ καὶ τοὺς ενεμετιμ καὶ τοὺς λαβιμ καὶ τοὺς νεφθαλιμ

14 og patruserne og kasluherne, som filistrene er kommet fra, og kaftorerne.
And Pathrusim and Casluhim and Caphtorim, from whom came the Philistines.
καὶ τοὺς πατροσωνιμ καὶ τοὺς χασλωνιμ ὅθεν ἐξῆλθεν ἐκεῖθεν φυλιστιμ καὶ τοὺς καφθοριμ

15 Og Kana'an blev far til Sidon, som var hans førstefødte, og til Het
And Canaan was the father of Zidon, who was his oldest son, and Heth,
χανααν δὲ ἐγέννησεν τὸν σιδῶνα πρωτότοκον καὶ τὸν χετταῖον

16 og til jebusittene og amorittene og girgasittene
And the Jebusite and the Amorite and the Girgashite,
καὶ τὸν ιεβουσαῖον καὶ τὸν αμορραῖον καὶ τὸν γεργεσαῖον

17 og hevittene og arkittene og sinittene
And the Hivite and the Arkite and the Sinite,
καὶ τὸν ευαῖον καὶ τὸν αρουκαῖον καὶ τὸν ασενναῖον

18 og arvadittene og semarittene og hamatittene; siden bredte kana'anittenes ætter sig videre ut.
And the Arvadite and the Zemarite and the Hamathite; after that the families of the Canaanites went far and wide in all directions;
καὶ τὸν ἀράδιον καὶ τὸν σαμαραῖον καὶ τὸν αμαθι καὶ μετὰ τοῦτο διεσπάρησαν αἱ φυλαὶ τῶν χαναναίων

19 Og kana'anittenes grense gikk fra Sidon bortimot Gerar like til Gasa, og bortimot Sodoma og Gomorra og Adma og Sebo'im like til Lesa.
Their country stretching from Zidon to Gaza, in the direction of Gerar; and to Lasha, in the direction of Sodom and Gomorrah and Admah and Zeboiim.
καὶ ἐγένοντο τὰ ὅρια τῶν χαναναίων ἀπὸ σιδῶνος ἕως ἐλθεῖν εἰς γεραρα καὶ γάζαν ἕως ἐλθεῖν σοδομων καὶ γομορρας αδαμα καὶ σεβωιμ ἕως λασα

20 Dette var Kams barn, efter sine ætter, med sine tungemål, i sine land, i sine folkeslag.
All these, with their different families, languages, lands, and nations, are the offspring of Ham.
οὗτοι υἱοὶ χαμ ἐν ταῖς φυλαῖς αὐτῶν κατὰ γλώσσας αὐτῶν ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν

21 Også Sem fikk barn; han var stamfar til alle Ebers barn og var den eldste bror av Jafet.
And Shem, the older brother of Japheth, the father of the children of Eber, had other sons in addition.
καὶ τῷ σημ ἐγενήθη καὶ αὐτῷ πατρὶ πάντων τῶν υἱῶν εβερ ἀδελφῷ ιαφεθ τοῦ μείζονος

22 Sems sønner var Elam og Assur og Arpaksad og Lud og Aram.
These are the sons of Shem: Elam and Asshur and Arpachshad and Lud and Aram.
υἱοὶ σημ αιλαμ καὶ ασσουρ καὶ αρφαξαδ καὶ λουδ καὶ αραμ καὶ καιναν

23 Og Arams sønner var Us og Hul og Geter og Mas.
And the sons of Aram: Uz and Hul and Gether and Mash.
καὶ υἱοὶ αραμ ως καὶ ουλ καὶ γαθερ καὶ μοσοχ

24 Og Arpaksad fikk sønnen Salah, og Salah fikk sønnen Eber.
And Arpachshad became the father of Shelah; and Shelah became the father of Eber.
καὶ αρφαξαδ ἐγέννησεν τὸν καιναν καὶ καιναν ἐγέννησεν τὸν σαλα σαλα δὲ ἐγέννησεν τὸν εβερ

25 Og Eber fikk to sønner; den ene hette Peleg, for i hans dager blev menneskene spredt over jorden; og hans bror hette Joktan.
And Eber had two sons: the name of the one was Peleg, because in his time the peoples of the earth became separate; and his brother's name was Joktan.
καὶ τῷ εβερ ἐγενήθησαν δύο υἱοί ὄνομα τῷ ἑνὶ φαλεκ ὅτι ἐν ταῖς ἡμέραις αὐτοῦ διεμερίσθη ἡ γῆ καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ ιεκταν

26 Og Joktan blev far til Almodad og Salef og Hasarmavet og Jarah
And Joktan was the father of Almodad and Sheleph and Hazarmaveth and Jerah
ιεκταν δὲ ἐγέννησεν τὸν ελμωδαδ καὶ τὸν σαλεφ καὶ ασαρμωθ καὶ ιαραχ

27 og Hadoram og Usal og Dikla
And Hadoram and Uzal and Diklah
καὶ οδορρα καὶ αιζηλ καὶ δεκλα

28 og Obal og Abimael og Sjeba
And Obal and Abimael and Sheba
καὶ αβιμεηλ καὶ σαβευ

29 og Ofir og Havila og Jobab; alle disse var Joktans sønner.
And Ophir and Havilah and Jobab; all these were the sons of Joktan.
καὶ ουφιρ καὶ ευιλα καὶ ιωβαβ πάντες οὗτοι υἱοὶ ιεκταν

30 De hadde sine bosteder i fjellbygdene i øst fra Mesa bortimot Sefar.
And their country was from Mesha, in the direction of Sephar, the mountain of the east.
καὶ ἐγένετο ἡ κατοίκησις αὐτῶν ἀπὸ μασση ἕως ἐλθεῖν εἰς σωφηρα ὄρος ἀνατολῶν

31 Dette var Sems barn efter sine ætter, med sine tungemål, i sine land, i sine folkeslag.
These, with their families and their languages and their lands and their nations, are the offspring of Shem.
οὗτοι υἱοὶ σημ ἐν ταῖς φυλαῖς αὐτῶν κατὰ γλώσσας αὐτῶν ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν

32 Dette var Noahs sønners ætter efter sin avstamning, i sine folkeslag; og fra dem har folkene utbredt sig på jorden efter vannflommen.
These are the families of the sons of Noah, in the order of their generations and their nations: from these came all the nations of the earth after the great flow of waters.
αὗται αἱ φυλαὶ υἱῶν νωε κατὰ γενέσεις αὐτῶν κατὰ τὰ ἔθνη αὐτῶν ἀπὸ τούτων διεσπάρησαν νῆσοι τῶν ἐθνῶν ἐπὶ τῆς γῆς μετὰ τὸν κατακλυσμόν

1 Og hele jorden hadde ett tungemål og ens tale.
And all the earth had one language and one tongue.
καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν καὶ φωνὴ μία πᾶσιν

2 Og da de drog frem mot øst, fant de en slette i landet Sinear, og de bosatte sig der.
And it came about that in their wandering from the east, they came to a stretch of flat country in the land of Shinar, and there they made their living-place.
καὶ ἐγένετο ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν εὗρον πεδίον ἐν γῇ σεννααρ καὶ κατῴκησαν ἐκεῖ

3 Og de sa til hverandre: Kom, la oss gjøre teglsten og brenne dem vel! Og de brukte tegl istedenfor sten, og jordbek istedenfor kalk.
And they said one to another, Come, let us make bricks, burning them well. And they had bricks for stone, putting them together with sticky earth.
καὶ εἶπεν ἄνθρωπος τῷ πλησίον δεῦτε πλινθεύσωμεν πλίνθους καὶ ὀπτήσωμεν αὐτὰς πυρί καὶ ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον καὶ ἄσφαλτος ἦν αὐτοῖς ὁ πηλός

4 Så sa de: Kom, la oss bygge oss en by med et tårn som når op til himmelen, og gjøre oss et navn, så vi ikke skal spres over hele jorden!
And they said, Come, let us make a town, and a tower whose top will go up as high as heaven; and let us make a great name for ourselves, so that we may not be wanderers over the face of the earth.
καὶ εἶπαν δεῦτε οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον οὗ ἡ κεφαλὴ ἔσται ἕως τοῦ οὐρανοῦ καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα πρὸ τοῦ διασπαρῆναι ἐπὶ προσώπου πάσης τῆς γῆς

5 Da steg Herren ned for å se byen og tårnet som menneskenes barn hadde begynt å bygge.
And the Lord came down to see the town and the tower which the children of men were building.
καὶ κατέβη κύριος ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων

6 Og Herren sa: Se, de er ett folk, og ett tungemål har de alle; dette er det første de tar sig fore, og nu vil intet være umulig for dem, hvad de så får i sinne å gjøre.
And the Lord said, See, they are all one people and have all one language; and this is only the start of what they may do: and now it will not be possible to keep them from any purpose of theirs.
καὶ εἶπεν κύριος ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων καὶ τοῦτο ἤρξαντο ποιῆσαι καὶ νῦν οὐκ ἐκλείψει ἐξ αὐτῶν πάντα ὅσα ἂν ἐπιθῶνται ποιεῖν

7 La oss da stige ned der og forvirre deres tungemål, så den ene ikke forstår den andres tungemål!
Come, let us go down and take away the sense of their language, so that they will not be able to make themselves clear to one another.
δεῦτε καὶ καταβάντες συγχέωμεν ἐκεῖ αὐτῶν τὴν γλῶσσαν ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ πλησίον

8 Så spredte Herren dem derfra over hele jorden, og de holdt op med å bygge på byen.
So the Lord God sent them away into every part of the earth: and they gave up building their town.
καὶ διέσπειρεν αὐτοὺς κύριος ἐκεῖθεν ἐπὶ πρόσωπον πάσης τῆς γῆς καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν πύργον

9 Derfor kalte de den Babel; for der forvirret Herren hele jordens tungemål, og derfra spredte Herren dem ut over hele jorden.
So it was named Babel, because there the Lord took away the sense of all languages and from there the Lord sent them away over all the face of the earth.
διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῆς σύγχυσις ὅτι ἐκεῖ συνέχεεν κύριος τὰ χείλη πάσης τῆς γῆς καὶ ἐκεῖθεν διέσπειρεν αὐτοὺς κύριος ὁ θεὸς ἐπὶ πρόσωπον πάσης τῆς γῆς

10 Dette er historien om Sems ætt: Da Sem var hundre år gammel, fikk han sønnen Arpaksad to år efter vannflommen.
These are the generations of Shem. Shem was a hundred years old when he became the father of Arpachshad, two years after the great flow of waters;
καὶ αὗται αἱ γενέσεις σημ σημ υἱὸς ἑκατὸν ἐτῶν ὅτε ἐγέννησεν τὸν αρφαξαδ δευτέρου ἔτους μετὰ τὸν κατακλυσμόν

11 Og efterat Sem hadde fått Arpaksad, levde han ennu fem hundre år og fikk sønner og døtre.
And after the birth of Arpachshad, Shem went on living for five hundred years, and had sons and daughters:
καὶ ἔζησεν σημ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν αρφαξαδ πεντακόσια ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανεν

12 Da Arpaksad var fem og tretti år gammel, fikk han sønnen Salah.
And Arpachshad was thirty-five years old when he became the father of Shelah:
καὶ ἔζησεν αρφαξαδ ἑκατὸν τριάκοντα πέντε ἔτη καὶ ἐγέννησεν τὸν καιναν

13 Og efterat Arpaksad hadde fått Salah, levde han ennu fire hundre og tre år og fikk sønner og døtre.
And after the birth of Shelah, Arpachshad went on living for four hundred and three years, and had sons and daughters:
καὶ ἔζησεν αρφαξαδ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν καιναν ἔτη τετρακόσια τριάκοντα καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανεν καὶ ἔζησεν καιναν ἑκατὸν τριάκοντα ἔτη καὶ ἐγέννησεν τὸν σαλα κ
αὶ ἔζησεν καιναν μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν σαλα ἔτη τριακόσια τριάκοντα καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανεν

14 Da Salah var tretti år gammel, fikk han sønnen Eber.
And Shelah was thirty years old when he became the father of Eber:
καὶ ἔζησεν σαλα ἑκατὸν τριάκοντα ἔτη καὶ ἐγέννησεν τὸν εβερ

15 Og efterat Salah hadde fått Eber, levde han ennu fire hundre og tre år og fikk sønner og døtre.
And after the birth of Eber, Shelah went on living for four hundred and three years, and had sons and daughters:
καὶ ἔζησεν σαλα μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν εβερ τριακόσια τριάκοντα ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανεν

16 Da Eber var fire og tretti år gammel, fikk han sønnen Peleg.
And Eber was thirty-four years old when he became the father of Peleg:
καὶ ἔζησεν εβερ ἑκατὸν τριάκοντα τέσσαρα ἔτη καὶ ἐγέννησεν τὸν φαλεκ

17 Og efterat Eber hadde fått Peleg, levde han ennu fire hundre og tretti år og fikk sønner og døtre.
And after the birth of Peleg, Eber went on living for four hundred and thirty years, and had sons and daughters:
καὶ ἔζησεν εβερ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν φαλεκ ἔτη τριακόσια ἑβδομήκοντα καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανεν

18 Da Peleg var tretti år gammel, fikk han sønnen Re'u.
And Peleg was thirty years old when he became the father of Reu:
καὶ ἔζησεν φαλεκ ἑκατὸν τριάκοντα ἔτη καὶ ἐγέννησεν τὸν ραγαυ

19 Og efterat Peleg hadde fått Re'u, levde han ennu to hundre og ni år og fikk sønner og døtre.
And after the birth of Reu, Peleg went on living for two hundred and nine years, and had sons and daughters:
καὶ ἔζησεν φαλεκ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν ραγαυ διακόσια ἐννέα ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανεν

20 Da Re'u var to og tretti år gammel, fikk han sønnen Serug.
And Reu was thirty-two years old when he became the father of Serug:
καὶ ἔζησεν ραγαυ ἑκατὸν τριάκοντα δύο ἔτη καὶ ἐγέννησεν τὸν σερουχ

21 Og efterat Re'u hadde fått Serug, levde han ennu to hundre og syv år og fikk sønner og døtre.
And after the birth of Serug, Reu went on living for two hundred and seven years, and had sons and daughters:
καὶ ἔζησεν ραγαυ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν σερουχ διακόσια ἑπτὰ ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανεν

22 Da Serug var tretti år gammel, fikk han sønnen Nakor.
And Serug was thirty years old when he became the father of Nahor:
καὶ ἔζησεν σερουχ ἑκατὸν τριάκοντα ἔτη καὶ ἐγέννησεν τὸν ναχωρ

23 Og efterat Serug hadde fått Nakor, levde han ennu to hundre år og fikk sønner og døtre.
And after the birth of Nahor, Serug went on living for two hundred years, and had sons and daughters:
καὶ ἔζησεν σερουχ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν ναχωρ ἔτη διακόσια καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανεν

24 Da Nakor var ni og tyve år gammel, fikk han sønnen Tarah.
And Nahor was twenty-nine years old when he became the father of Terah:
καὶ ἔζησεν ναχωρ ἔτη ἑβδομήκοντα ἐννέα καὶ ἐγέννησεν τὸν θαρα

25 Og efterat Nakor hadde fått Tarah, levde han ennu hundre og nitten år og fikk sønner og døtre.
And after the birth of Terah, Nahor went on living for a hundred and nineteen years, and had sons and daughters:
καὶ ἔζησεν ναχωρ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν θαρα ἔτη ἑκατὸν εἴκοσι ἐννέα καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανεν

26 Da Tarah var sytti år gammel, fikk han sønnene Abram, Nakor og Haran.
And Terah was seventy years old when he became the father of Abram, Nahor, and Haran.
καὶ ἔζησεν θαρα ἑβδομήκοντα ἔτη καὶ ἐγέννησεν τὸν αβραμ καὶ τὸν ναχωρ καὶ τὸν αρραν

27 Dette er historien om Tarah og hans ætt: Tarah fikk sønnene Abram, Nakor og Haran. Og Haran fikk sønnen Lot.
These are the generations of Terah: Terah was the father of Abram, Nahor, and Haran; and Haran was the father of Lot.
αὗται δὲ αἱ γενέσεις θαρα θαρα ἐγέννησεν τὸν αβραμ καὶ τὸν ναχωρ καὶ τὸν αρραν καὶ αρραν ἐγέννησεν τὸν λωτ

28 Og Haran døde hos sin far Tarah i sitt fedreland, i Ur i Kaldea.
And death came to Haran when he was with his father Terah in the land of his birth, Ur of the Chaldees.
καὶ ἀπέθανεν αρραν ἐνώπιον θαρα τοῦ πατρὸς αὐτοῦ ἐν τῇ γῇ ᾗ ἐγενήθη ἐν τῇ χώρᾳ τῶν χαλδαίων

29 Og Abram og Nakor tok sig hustruer; Abrams hustru hette Sarai, og Nakors hustru hette Milka og var en datter av Haran, far til Milka og Jiska.
And Abram and Nahor took wives for themselves: the name of Abram's wife was Sarai, and the name of Nahor's wife was Milcah, the daughter of Haran, the father of Milcah and Iscah.
καὶ ἔλαβον αβραμ καὶ ναχωρ ἑαυτοῖς γυναῖκας ὄνομα τῇ γυναικὶ αβραμ σαρα καὶ ὄνομα τῇ γυναικὶ ναχωρ μελχα θυγάτηρ αρραν πατὴρ μελχα καὶ πατὴρ ιεσχα

30 Og Sarai var ufruktbar, hun hadde ikke noget barn.
And Sarai had no child.
καὶ ἦν σαρα στεῖρα καὶ οὐκ ἐτεκνοποίει

31 Og Tarah tok med sig Abram, sin sønn, og Lot, Harans sønn, sin sønnesønn, og Sarai, sin sønnekone, sin sønn Abrams hustru; og de drog ut sammen fra Ur i Kaldea for å reise til Kana'ans land, og d
kom til Karan og bosatte sig der.
And Terah took Abram, his son, and Lot, the son of Haran, and Sarai, his daughter-in-law, the wife of his son Abram and they went out from Ur of the Chaldees, to go to the land of Canaan; and the
came to Haran, and were there for some time.
καὶ ἔλαβεν θαρα τὸν αβραμ υἱὸν αὐτοῦ καὶ τὸν λωτ υἱὸν αρραν υἱὸν τοῦ υἱοῦ αὐτοῦ καὶ τὴν σαραν τὴν νύμφην αὐτοῦ γυναῖκα αβραμ τοῦ υἱοῦ αὐτοῦ καὶ ἐξήγαγεν αὐτοὺς ἐκ τῆς χώρας τῶν χαλδαίων π
ορευθῆναι εἰς τὴν γῆν χανααν καὶ ἦλθεν ἕως χαρραν καὶ κατῴκησεν ἐκεῖ

32 Og Tarahs dager blev to hundre og fem år; så døde Tarah i Karan.
And all the years of Terah's life were two hundred and five: and Terah came to his end in Haran.
καὶ ἐγένοντο αἱ ἡμέραι θαρα ἐν χαρραν διακόσια πέντε ἔτη καὶ ἀπέθανεν θαρα ἐν χαρραν

1 Og Herren sa til Abram: Dra bort fra ditt land og fra din slekt og fra din fars hus til det land som jeg vil vise dig!
Now the Lord said to Abram, Go out from your country and from your family and from your father's house, into the land to which I will be your guide:
καὶ εἶπεν κύριος τῷ αβραμ ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου εἰς τὴν γῆν ἣν ἄν σοι δείξω

2 Og jeg vil gjøre dig til et stort folk; jeg vil velsigne dig og gjøre ditt navn stort, og du skal bli en velsignelse!
καὶ εἶδον οἱ κάτοικοι τῆς γῆς χανααν τὸ πένθος ἐν ἅλωνι αταδ καὶ εἶπαν πένθος μέγα τοῦτό ἐστιν τοῖς αἰγυπτίοις διὰ τοῦτο ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ πένθος αἰγύπτου ὅ ἐστιν πέραν τοῦ ιορδάνου

12 Og hans sønner gjorde med ham således som han hadde pålagt dem;
So his sons did as he had given them orders to do:
καὶ ἐποίησαν αὐτῷ οὕτως οἱ υἱοὶ αὐτοῦ καὶ ἔθαψαν αὐτὸν ἐκεῖ

13 hans sønner førte ham til Kana'ans land og begravde ham i hulen på Makpela-marken, den mark som Abraham hadde kjøpt av hetitten Efron til eiendoms-gravsted, østenfor Mamre.
For they took him into the land of Canaan and put him to rest in the hollow rock in the field of Machpelah, which Abraham got with the field, for a resting-place, from Ephron the Hittite at Mamre.
καὶ ἀνέλαβον αὐτὸν οἱ υἱοὶ αὐτοῦ εἰς γῆν χανααν καὶ ἔθαψαν αὐτὸν εἰς τὸ σπήλαιον τὸ διπλοῦν ὃ ἐκτήσατο αβρααμ τὸ σπήλαιον ἐν κτήσει μνημείου παρὰ εφρων τοῦ χετταίου κατέναντι μαμβρη

14 Og da Josef hadde begravet sin far, vendte han tilbake til Egypten, både han og hans brødre og alle de som hadde draget op med ham for å begrave hans far.
And when his father had been put to rest, Joseph and his brothers and all who had gone with him, went back to Egypt.
καὶ ἀπέστρεψεν ιωσηφ εἰς αἴγυπτον αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ οἱ συναναβάντες θάψαι τὸν πατέρα αὐτοῦ

15 Da Josefs brødre så at deres far var død, sa de: Bare nu ikke Josef vil hate oss og gjengjelde oss alt det onde vi gjorde mot ham!
Now after the death of their father, Joseph's brothers said to themselves, It may be that Joseph's heart will be turned against us, and he will give us punishment for all the evil which we did to him.
ἰδόντες δὲ οἱ ἀδελφοὶ ιωσηφ ὅτι τέθνηκεν ὁ πατὴρ αὐτῶν εἶπαν μήποτε μνησικακήσῃ ἡμῖν ιωσηφ καὶ ἀνταπόδομα ἀνταποδῷ ἡμῖν πάντα τὰ κακά ἃ ἐνεδειξάμεθα αὐτῷ

16 Så sendte de bud til Josef og lot si: Din far gav oss før sin død dette pålegg:
So they sent word to Joseph, saying, Your father, before his death, gave us orders, saying,
καὶ παρεγένοντο πρὸς ιωσηφ λέγοντες ὁ πατήρ σου ὥρκισεν πρὸ τοῦ τελευτῆσαι αὐτὸν λέγων

17 Så skal I si til Josef: Tilgi, kjære, dine brødres misgjerning og deres synd, at de har gjort ille mot dig! Så tilgi nu oss, som også tjener din fars Gud, vår misgjerning! Og Josef gråt da de talte således t ham.
You are to say to Joseph, Let the wrongdoing of your brothers be overlooked, and the evil they did to you: now, if it is your pleasure, let the sin of the servants of your father's God have forgiveness. A at these words, Joseph was overcome with weeping.
οὕτως εἴπατε ιωσηφ ἄφες αὐτοῖς τὴν ἀδικίαν καὶ τὴν ἁμαρτίαν αὐτῶν ὅτι πονηρά σοι ἐνεδείξαντο καὶ νῦν δέξαι τὴν ἀδικίαν τῶν θεραπόντων τοῦ θεοῦ τοῦ πατρός σου καὶ ἔκλαυσεν ιωσηφ λαλούντων αὐτῶν πρὸς αὐτόν

18 Siden kom også hans brødre selv og falt ned for ham og sa: Se, vi vil være dine tjenere.
Then his brothers went, and falling at his feet, said, Truly, we are your servants.
καὶ ἐλθόντες πρὸς αὐτὸν εἶπαν οἵδε ἡμεῖς σοι οἰκέται

19 Da sa Josef til dem: Vær ikke redde; er vel jeg i Guds sted?
And Joseph said, Have no fear: am I in the place of God?
καὶ εἶπεν αὐτοῖς ιωσηφ μὴ φοβεῖσθε τοῦ γὰρ θεοῦ εἰμι ἐγώ

20 I tenkte ondt mot mig; men Gud tenkte det til det gode for å gjøre det han nu har gjort, og holde meget folk i live.
As for you, it was in your mind to do me evil, but God has given a happy outcome, the salvation of numbers of people, as you see today.
ὑμεῖς ἐβουλεύσασθε κατ' ἐμοῦ εἰς πονηρά ὁ δὲ θεὸς ἐβουλεύσατο περὶ ἐμοῦ εἰς ἀγαθά ὅπως ἂν γενηθῇ ὡς σήμερον ἵνα διατραφῇ λαὸς πολύς

21 Så vær da ikke redde, jeg vil sørge for eder og eders barn. Og han trøstet dem og talte vennlig til dem.
So now, have no fear: for I will take care of you and your little ones. So he gave them comfort with kind words.
καὶ εἶπεν αὐτοῖς μὴ φοβεῖσθε ἐγὼ διαθρέψω ὑμᾶς καὶ τὰς οἰκίας ὑμῶν καὶ παρεκάλεσεν αὐτοὺς καὶ ἐλάλησεν αὐτῶν εἰς τὴν καρδίαν

22 Josef blev boende i Egypten, både han og hans fars hus; og Josef blev hundre og ti år gammel.
Now Joseph and all his father's family went on living in Egypt: and the years of Joseph's life were a hundred and ten.
καὶ κατῴκησεν ιωσηφ ἐν αἰγύπτῳ αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ πανοικία τοῦ πατρὸς αὐτοῦ καὶ ἔζησεν ιωσηφ ἔτη ἑκατὸν δέκα

23 Og Josef fikk se Efra'ims barn i tredje ledd; også barna til Makir, Manasses sønn, blev født på Josefs knær*. / <* d.e. født mens han ennu levde, så han kunde ta dem på sine knær.>
And Joseph saw Ephraim's children of the third generation: and the children of Machir, the son of Manasseh, came to birth on Joseph's knees.
καὶ εἶδεν ιωσηφ εφραιμ παιδία ἕως τρίτης γενεᾶς καὶ υἱοὶ μαχιρ τοῦ υἱοῦ μανασση ἐτέχθησαν ἐπὶ μηρῶν ιωσηφ

24 Og Josef sa til sine brødre: Jeg dør, men Gud skal visselig se til eder og føre eder op fra dette land til det land han har tilsvoret Abraham, Isak og Jakob.
Then Joseph said to his brothers, The time of my death has come; but God will keep you in mind and take you out of this land into the land which he gave by his oath to Abraham and Isaac and Jacol
καὶ εἶπεν ιωσηφ τοῖς ἀδελφοῖς αὐτοῦ λέγων ἐγὼ ἀποθνῄσκω ἐπισκοπῇ δὲ ἐπισκέψεται ὑμᾶς ὁ θεὸς καὶ ἀνάξει ὑμᾶς ἐκ τῆς γῆς ταύτης εἰς τὴν γῆν ἣν ὤμοσεν ὁ θεὸς τοῖς πατράσιν ἡμῶν αβρααμ καὶ ισ
ακ καὶ ιακωβ

25 Og Josef tok en ed av Israels sønner og sa: Gud skal visselig se til eder, og da skal I føre mine ben op herfra.
Then Joseph made the children of Israel take an oath, saying, God will certainly give effect to his word, and you are to take my bones away from here.
καὶ ὥρκισεν ιωσηφ τοὺς υἱοὺς ισραηλ λέγων ἐν τῇ ἐπισκοπῇ ᾗ ἐπισκέψεται ὑμᾶς ὁ θεός καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν μεθ' ὑμῶν

26 Og Josef døde, hundre og ti år gammel; og de balsamerte ham og la ham i kiste i Egypten.
So Joseph came to his death, being a hundred and ten years old: and they made his body ready, and he was put in a chest in Egypt.
καὶ ἐτελεύτησεν ιωσηφ ἐτῶν ἑκατὸν δέκα καὶ ἔθαψαν αὐτὸν καὶ ἔθηκαν ἐν τῇ σορῷ ἐν αἰγύπτῳ .

1 Dette er navnene på Israels sønner som kom til Egypten; med Jakob kom de, hver med sitt hus:
Now these are the names of the sons of Israel who came into Egypt; every man and his family came with Jacob.
ταῦτα τὰ ὀνόματα τῶν υἱῶν ισραηλ τῶν εἰσπεπορευμένων εἰς αἴγυπτον ἅμα ιακωβ τῷ πατρὶ αὐτῶν ἕκαστος πανοικίᾳ αὐτῶν εἰσήλθοσαν

2 Ruben, Simeon, Levi og Juda,
Reuben, Simeon, Levi, and Judah;
ρουβην συμεων λευι ιουδας

3 Issakar, Sebulon og Benjamin,
Issachar, Zebulun, and Benjamin;
ισσαχαρ ζαβουλων καὶ βενιαμιν

4 Dan og Naftali, Gad og Aser.
Dan and Naphtali, Gad and Asher.
δαν καὶ νεφθαλι γαδ καὶ ασηρ

5 De som nedstammet fra Jakob, var i alt sytti sjeler; men Josef var allerede i Egypten.
All the offspring of Jacob were seventy persons: and Joseph had come to Egypt before them.
ιωσηφ δὲ ἦν ἐν αἰγύπτῳ ἦσαν δὲ πᾶσαι ψυχαὶ ἐξ ιακωβ πέντε καὶ ἑβδομήκοντα

6 Og Josef døde og alle hans brødre og hele den slekt.
Then Joseph came to his end, and all his brothers, and all that generation.
ἐτελεύτησεν δὲ ιωσηφ καὶ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ γενεὰ ἐκείνη

7 Men Israels barn var fruktbare og tok sterkt til og blev mange og overmåte tallrike, og landet blev fullt av dem.
And the children of Israel were fertile, increasing very greatly in numbers and in power; and the land was full of them.
οἱ δὲ υἱοὶ ισραηλ ηὐξήθησαν καὶ ἐπληθύνθησαν καὶ χυδαῖοι ἐγένοντο καὶ κατίσχυον σφόδρα σφόδρα ἐπλήθυνεν δὲ ἡ γῆ αὐτούς

8 Da kom det en ny konge over Egypten, som ikke visste noget om Josef.
Now a new king came to power in Egypt, who had no knowledge of Joseph.
ἀνέστη δὲ βασιλεὺς ἕτερος ἐπ' αἴγυπτον ὃς οὐκ ᾔδει τὸν ιωσηφ

9 Og han sa til sitt folk: Se, israelittenes folk er større og tallrikere enn vi.
And he said to his people, See, the people of Israel are greater in number and in power than we are:
εἶπεν δὲ τῷ ἔθνει αὐτοῦ ἰδοὺ τὸ γένος τῶν υἱῶν ισραηλ μέγα πλῆθος καὶ ἰσχύει ὑπὲρ ἡμᾶς

10 Nu vel, la oss gå klokt til verks mot dem, forat de ikke skal ta mere til, og forat de ikke, om det kommer krig, skal slå sig i lag med våre fiender og føre krig mot oss og dra ut av landet.
Let us take care for fear that their numbers may become even greater, and if there is a war, they may be joined with those who are against us, and make an attack on us, and go up out of the land.
δεῦτε οὖν κατασοφισώμεθα αὐτούς μήποτε πληθυνθῇ καί ἡνίκα ἂν συμβῇ ἡμῖν πόλεμος προστεθήσονται καὶ οὗτοι πρὸς τοὺς ὑπεναντίους καὶ ἐκπολεμήσαντες ἡμᾶς ἐξελεύσονται ἐκ τῆς γῆς

11 Så satte de arbeidsfogder over dem til å plage dem med tvangsarbeid; og de måtte bygge for Farao to byer til oplagssteder, Pitom og Ra'amses.
So they put overseers of forced work over them, in order to make their strength less by the weight of their work. And they made store-towns for Pharaoh, Pithom and Raamses.
καὶ ἐπέστησεν αὐτοῖς ἐπιστάτας τῶν ἔργων ἵνα κακώσωσιν αὐτοὺς ἐν τοῖς ἔργοις καὶ ᾠκοδόμησαν πόλεις ὀχυρὰς τῷ φαραω τήν τε πιθωμ καὶ ραμεσση καὶ ων ἥ ἐστιν ἡλίου πόλις

12 Men jo mere de plaget dem, dess mere tok de til, og dess mere bredte de sig ut, så egypterne begynte å grue for Israels barn.
But the more cruel they were to them, the more their number increased, till all the land was full of them. And the children of Israel were hated by the Egyptians.
καθότι δὲ αὐτοὺς ἐταπείνουν τοσούτῳ πλείους ἐγίνοντο καὶ ἴσχυον σφόδρα σφόδρα καὶ ἐβδελύσσοντο οἱ αἰγύπτιοι ἀπὸ τῶν υἱῶν ισραηλ

13 Og egypterne tvang Israels barn til å træle for sig,
And they gave the children of Israel even harder work to do:
καὶ κατεδυνάστευον οἱ αἰγύπτιοι τοὺς υἱοὺς ισραηλ βίᾳ

14 og de forbitret livet for dem med hårdt trælarbeid i ler og tegl og med alle slags trælarbeid på marken, alt det trælarbeid som de tvang dem til å gjøre.
And made their lives bitter with hard work, making building-material and bricks, and doing all sorts of work in the fields under the hardest conditions.
καὶ κατωδύνων αὐτῶν τὴν ζωὴν ἐν τοῖς ἔργοις τοῖς σκληροῖς τῷ πηλῷ καὶ τῇ πλινθείᾳ καὶ πᾶσι τοῖς ἔργοις τοῖς ἐν τοῖς πεδίοις κατὰ πάντα τὰ ἔργα ὧν κατεδουλοῦντο αὐτοὺς μετὰ βίας

15 Og kongen i Egypten sa til de hebraiske jordmødre - den ene av dem hette Sifra og den andre Pua - :
And the king of Egypt said to the Hebrew women who gave help at the time of childbirth (the name of the one was Shiphrah and the name of the other Puah),
καὶ εἶπεν ὁ βασιλεὺς τῶν αἰγυπτίων ταῖς μαίαις τῶν εβραίων τῇ μιᾷ αὐτῶν ᾗ ὄνομα σεπφωρα καὶ τὸ ὄνομα τῆς δευτέρας φουα

16 Når I hjelper de hebraiske kvinner til å føde, så skal I se efter i jordmorstolen; er det da en sønn, sa drep ham, men er det en datter, da kan hun leve.
When you are looking after the Hebrew women in childbirth, if it is a son you are to put him to death; but if it is a daughter, she may go on living.
καὶ εἶπεν ὅταν μαιοῦσθε τὰς εβραίας καὶ ὦσιν πρὸς τῷ τίκτειν ἐὰν μὲν ἄρσεν ᾖ ἀποκτείνατε αὐτό ἐὰν δὲ θῆλυ περιποιεῖσθε αὐτό

17 Men jordmødrene fryktet Gud og gjorde ikke som kongen i Egypten bød dem, men lot guttebarna leve.
But the women had the fear of God, and did not do as the king of Egypt said, but let the male children go on living.
ἐφοβήθησαν δὲ αἱ μαῖαι τὸν θεὸν καὶ οὐκ ἐποίησαν καθότι συνέταξεν αὐταῖς ὁ βασιλεὺς αἰγύπτου καὶ ἐζωογόνουν τὰ ἄρσενα

18 Da kalte kongen i Egypten jordmødrene til sig og sa til dem: Hvorfor gjør I dette og lar guttebarna leve?
And the king of Egypt sent for the women, and said to them, Why have you done this, and let the male children go on living?
ἐκάλεσεν δὲ ὁ βασιλεὺς αἰγύπτου τὰς μαίας καὶ εἶπεν αὐταῖς τί ὅτι ἐποιήσατε τὸ πρᾶγμα τοῦτο καὶ ἐζωογονεῖτε τὰ ἄρσενα

19 Jordmødrene svarte Farao: De hebraiske kvinner er ikke som de egyptiske, de er sterkere; før jordmoren kommer til dem, har de født.
And they said to Pharaoh, Because the Hebrew women are not like the Egyptian women, for they are strong, and the birth takes place before we come to them.
εἶπαν δὲ αἱ μαῖαι τῷ φαραω οὐχ ὡς γυναῖκες αἰγύπτου αἱ εβραῖαι τίκτουσιν γὰρ πρὶν ἢ εἰσελθεῖν πρὸς αὐτὰς τὰς μαίας καὶ ἔτικτον

20 Og Gud gjorde vel imot jordmødrene; og folket tok til og blev overmåte tallrikt.
And the blessing of God was on these women: and the people were increased in number and became very strong.
εὖ δὲ ἐποίει ὁ θεὸς ταῖς μαίαις καὶ ἐπλήθυνεν ὁ λαὸς καὶ ἴσχυεν σφόδρα

21 Og fordi jordmødrene fryktet Gud, gav han dem avkom.
And because the women who took care of the Hebrew mothers had the fear of God, he gave them families.
ἐπειδὴ ἐφοβοῦντο αἱ μαῖαι τὸν θεόν ἐποίησαν ἑαυταῖς οἰκίας

22 Da bød Farao alt sitt folk og sa: Hver sønn som fødes*, skal kastes i elven, men hver datter skal I la leve. / <* for Israels barn.>
And Pharaoh gave orders to all his people, saying, Every son who comes to birth is to be put into the river, but every daughter may go on living.
συνέταξεν δὲ φαραω παντὶ τῷ λαῷ αὐτοῦ λέγων πᾶν ἄρσεν ὃ ἐὰν τεχθῇ τοῖς εβραίοις εἰς τὸν ποταμὸν ῥίψατε καὶ πᾶν θῆλυ ζωογονεῖτε αὐτό

1 Så var det en mann av Levis hus som gikk bort og tok en Levis datter til ekte.
Now a man of the house of Levi took as his wife a daughter of Levi.
ἦν δέ τις ἐκ τῆς φυλῆς λευι ὃς ἔλαβεν τῶν θυγατέρων λευι καὶ ἔσχεν αὐτήν

2 Og kvinnen blev fruktsommelig og fødte en sønn; og da hun så at det var et vakkert barn, skjulte hun ham i tre måneder.
And she became with child and gave birth to a Son; and when she saw that he was a beautiful child, she kept him secretly for three months.
καὶ ἐν γαστρὶ ἔλαβεν καὶ ἔτεκεν ἄρσεν ἰδόντες δὲ αὐτὸ ἀστεῖον ἐσκέπασαν αὐτὸ μῆνας τρεῖς

3 Men da hun ikke lenger kunne skjule ham, tok hun en kiste til ham av rør og smurte den over med jordbek og tjære, og hun la gutten i den og satte den i sivet ved elvebredden.
And when she was no longer able to keep him secret, she made him a basket out of the stems of water-plants, pasting sticky earth over it to keep the water out; and placing the baby in it she put it amo
the plants by the edge of the Nile.
ἐπεὶ δὲ οὐκ ἠδύναντο αὐτὸ ἔτι κρύπτειν ἔλαβεν αὐτῷ ἡ μήτηρ αὐτοῦ θῖβιν καὶ κατέχρισεν αὐτὴν ἀσφαλτοπίσσῃ καὶ ἐνέβαλεν τὸ παιδίον εἰς αὐτὴν καὶ ἔθηκεν αὐτὴν εἰς τὸ ἕλος παρὰ τὸν ποταμόν

4 Men hans søster stod et stykke fra for å få vite hvorledes det gikk ham.
And his sister took her place at a distance to see what would become of him.
καὶ κατεσκόπευεν ἡ ἀδελφὴ αὐτοῦ μακρόθεν μαθεῖν τί τὸ ἀποβησόμενον αὐτῷ

5 Da kom Faraos datter ned til elven for å bade sig, mens hennes jomfruer gikk frem og tilbake på elvebredden; hun fikk se kisten midt i sivet og sendte sin pike avsted og lot den hente.
Now Pharaoh's daughter came down to the Nile to take a bath, while her women were walking by the riverside; and she saw the basket among the river-plants, and sent her servant-girl to get it.
κατέβη δὲ ἡ θυγάτηρ φαραω λούσασθαι ἐπὶ τὸν ποταμόν καὶ αἱ ἄβραι αὐτῆς παρεπορεύοντο παρὰ τὸν ποταμόν καὶ ἰδοῦσα τὴν θῖβιν ἐν τῷ ἕλει ἀποστεῖλασα τὴν ἄβραν ἀνείλατο αὐτήν

6 Da hun åpnet den, så hun barnet, og se, det var en gutt som lå der og gråt; da ynkedes hun over ham og sa: Det er en av hebreernes guttebarn.
And opening it, she saw the child, and he was crying. And she had pity on him, and said, This is one of the Hebrews' children.
ἀνοίξασα δὲ ὁρᾷ παιδίον κλαῖον ἐν τῇ θίβει καὶ ἐφείσατο αὐτοῦ ἡ θυγάτηρ φαραω καὶ ἔφη ἀπὸ τῶν παιδίων τῶν εβραίων τοῦτο

7 Da sa hans søster til Faraos datter: Skal jeg gå og hente en amme til dig blandt de hebraiske kvinner, så hun kan fostre op barnet for dig?
Then his sister said to Pharaoh's daughter, May I go and get you one of the Hebrew women to give him the breast?
καὶ εἶπεν ἡ ἀδελφὴ αὐτοῦ τῇ θυγατρὶ φαραω θέλεις καλέσω σοι γυναῖκα τροφεύουσαν ἐκ τῶν εβραίων καὶ θηλάσει σοι τὸ παιδίον

8 Faraos datter svarte henne: Ja, gå! Og piken gikk og hentet guttens mor.
And Pharaoh's daughter said to her, Go. And the girl went and got the child's mother.
ἡ δὲ εἶπεν αὐτῇ ἡ θυγάτηρ φαραω πορεύου ἐλθοῦσα δὲ ἡ νεᾶνις ἐκάλεσεν τὴν μητέρα τοῦ παιδίου

9 Da sa Faraos datter til henne: Ta denne gutt og fostre ham op for mig; jeg vil gi dig lønn for det. Og konen tok gutten og fostret ham op.
And Pharaoh's daughter said to her, Take the child away and give it milk for me, and I will give you payment. And the woman took the child and gave it milk at her breast.
εἶπεν δὲ πρὸς αὐτὴν ἡ θυγάτηρ φαραω διατήρησόν μοι τὸ παιδίον τοῦτο καὶ θήλασόν μοι αὐτό ἐγὼ δὲ δώσω σοι τὸν μισθόν ἔλαβεν δὲ ἡ γυνὴ τὸ παιδίον καὶ ἐθήλαζεν αὐτό

10 Da gutten blev voksen, gikk hun med ham til Faraos datter, og han blev som en sønn for henne; hun kalte ham Moses*, for - sa hun - av vannet har jeg dradd ham op. / <* den som er dradd op av vannet.>
And when the child was older, she took him to Pharaoh's daughter and he became her son, and she gave him the name Moses, Because, she said, I took him out of the water.
ἀδρυνθέντος δὲ τοῦ παιδίου εἰσήγαγεν αὐτὸ πρὸς τὴν θυγατέρα φαραω καὶ ἐγενήθη αὐτῇ εἰς υἱόν ἐπωνόμασεν δὲ τὸ ὄνομα αὐτοῦ μωυσῆν λέγουσα ἐκ τοῦ ὕδατος αὐτὸν ἀνειλόμην

11 Og det hendte på den tid da Moses var blitt voksen, at han gikk ut til sine brødre og så på deres slit og slep, og han fikk se en egyptisk mann som slo en hebraisk mann, en av hans brødre.
Now when Moses had become a man, one day he went out to his people and saw how hard their work was; and he saw an Egyptian giving blows to a Hebrew, one of his people.
ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταῖς πολλαῖς ἐκείναις μέγας γενόμενος μωυσῆς ἐξῆλθεν πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς ισραηλ κατανοήσας δὲ τὸν πόνον αὐτῶν ὁρᾷ ἄνθρωπον αἰγύπτιον τύπτοντά τιν
α εβραῖον τῶν ἑαυτοῦ ἀδελφῶν τῶν υἱῶν ισραηλ

12 Da vendte han sig hit og dit og så at det ikke var nogen der, og så slo han egypteren ihjel og skjulte ham i sanden.
And turning this way and that, and seeing no one, he put the Egyptian to death, covering his body with sand.
περιβλεψάμενος δὲ ὧδε καὶ ὧδε οὐχ ὁρᾷ οὐδένα καὶ πατάξας τὸν αἰγύπτιον ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ

13 Den andre dag gikk han atter ut og så to hebraiske menn som holdt på å slåss; da sa han til ham som hadde urett: Hvorfor slår du din landsmann?
And he went out the day after and saw two of the Hebrews fighting: and he said to him who was in the wrong, Why are you fighting your brother?
ἐξελθὼν δὲ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ ὁρᾷ δύο ἄνδρας εβραίους διαπληκτιζομένους καὶ λέγει τῷ ἀδικοῦντι διὰ τί σὺ τύπτεις τὸν πλησίον

14 Han svarte: Hvem har satt dig til høvding og dommer over oss? Tenker du å slå mig ihjel, likesom du slo egypteren ihjel? Da blev Moses redd og sa: Sannelig, saken er blitt kjent.
And he said, Who made you a ruler and a judge over us? are you going to put me to death as you did the Egyptian? And Moses was in fear, and said, It is clear that the thing has come to light.
ὁ δὲ εἶπεν τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμῶν μὴ ἀνελεῖν με σὺ θέλεις ὃν τρόπον ἀνεῖλες ἐχθὲς τὸν αἰγύπτιον ἐφοβήθη δὲ μωυσῆς καὶ εἶπεν εἰ οὕτως ἐμφανὲς γέγονεν τὸ ῥῆμα τοῦτο

15 Da Farao fikk høre det, søkte han å slå Moses ihjel; men Moses flyktet for Farao, og han tok bolig i landet Midian og bodde ved en brønn.
Now when Pharaoh had news of this, he would have put Moses to death. But Moses went in flight from Pharaoh into the land of Midian: and he took his seat by a water-spring.
ἤκουσεν δὲ φαραω τὸ ῥῆμα τοῦτο καὶ ἐζήτει ἀνελεῖν μωυσῆν ἀνεχώρησεν δὲ μωυσῆς ἀπὸ προσώπου φαραω καὶ ᾤκησεν ἐν γῇ μαδιαμ ἐλθὼν δὲ εἰς γῆν μαδιαμ ἐκάθισεν ἐπὶ τοῦ φρέατος

16 Presten i Midian hadde syv døtre; de kom og øste op vann og fylte vannrennene for å vanne sin fars småfe.
Now the priest of Midian had seven daughters: and they came to get water for their father's flock.
τῷ δὲ ἱερεῖ μαδιαμ ἦσαν ἑπτὰ θυγατέρες ποιμαίνουσαι τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν ιοθορ παραγενόμεναι δὲ ἤντλουν ἕως ἔπλησαν τὰς δεξαμενὰς ποτίσαι τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν ιοθορ

17 Så kom det nogen gjætere og drev dem bort; men Moses stod op og hjalp dem og vannet deres småfe.
And the keepers of the sheep came up and were driving them away; but Moses got up and came to their help, watering their flock for them.
παραγενόμενοι δὲ οἱ ποιμένες ἐξέβαλον αὐτάς ἀναστὰς δὲ μωυσῆς ἐρρύσατο αὐτὰς καὶ ἤντλησεν αὐταῖς καὶ ἐπότισεν τὰ πρόβατα αὐτῶν

18 Da de så kom hjem til Re'uel, sin far, sa han: Hvorfor kommer I så snart idag?
And when they came to Reuel their father, he said, How is it that you have come back so quickly today?
παρεγένοντο δὲ πρὸς ραγουηλ τὸν πατέρα αὐτῶν ὁ δὲ εἶπεν αὐταῖς τί ὅτι ἐταχύνατε τοῦ παραγενέσθαι σήμερον

19 De svarte: En egyptisk mann hjalp oss mot gjæterne, og han øste også vann for oss og vannet småfeet.
And they said, An Egyptian came to our help against the keepers of sheep and got water for us and gave it to the flock.
αἱ δὲ εἶπαν ἄνθρωπος αἰγύπτιος ἐρρύσατο ἡμᾶς ἀπὸ τῶν ποιμένων καὶ ἤντλησεν ἡμῖν καὶ ἐπότισεν τὰ πρόβατα ἡμῶν

20 Da sa han til sine døtre: Hvor er han da? Hvorfor lot I mannen bli igjen der? Be ham inn, så han kan ete med oss!
And he said to his daughters, Where is he? why have you let the man go? make him come in and give him a meal.
ὁ δὲ εἶπεν ταῖς θυγατράσιν αὐτοῦ καὶ ποῦ ἐστι καὶ ἵνα τί οὕτως καταλελοίπατε τὸν ἄνθρωπον καλέσατε οὖν αὐτόν ὅπως φάγῃ ἄρτον

21 Og Moses samtykket i å bli hos mannen; og han lot Moses få sin datter Sippora til hustru.
And Moses was happy to go on living with the man; and he gave his daughter Zipporah to Moses.
κατῳκίσθη δὲ μωυσῆς παρὰ τῷ ἀνθρώπῳ καὶ ἐξέδοτο σεπφωραν τὴν θυγατέρα αὐτοῦ μωυσῇ γυναῖκα

22 Hun fikk en sønn, og han kalte ham Gersom*; for han sa: Jeg er blitt en gjest i et fremmed land. / <* utlending der.>
And she gave birth to a son, to whom he gave the name Gershom: for he said, I have been living in a strange land.
ἐν γαστρὶ δὲ λαβοῦσα ἡ γυνὴ ἔτεκεν υἱόν καὶ ἐπωνόμασεν μωυσῆς τὸ ὄνομα αὐτοῦ γηρσαμ λέγων ὅτι πάροικός εἰμι ἐν γῇ ἀλλοτρίᾳ

23 Da lang tid var gått, døde kongen i Egypten, og Israels barn sukket over sin trældom og klaget; og deres rop over trældommen steg op til Gud.
Now after a long time the king of Egypt came to his end: and the children of Israel were crying in their grief under the weight of their work, and their cry for help came to the ears of God.
μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς αἰγύπτου καὶ κατεστέναξαν οἱ υἱοὶ ισραηλ ἀπὸ τῶν ἔργων καὶ ἀνεβόησαν καὶ ἀνέβη ἡ βοὴ αὐτῶν πρὸς τὸν θεὸν ἀπὸ τῶν ἔργων

24 Og Gud hørte deres sukk, og Gud kom i hu sin pakt med Abraham, Isak og Jakob.
And at the sound of their weeping the agreement which God had made with Abraham and Isaac and Jacob came to his mind.
καὶ εἰσήκουσεν ὁ θεὸς τὸν στεναγμὸν αὐτῶν καὶ ἐμνήσθη ὁ θεὸς τῆς διαθήκης αὐτοῦ τῆς πρὸς αβρααμ καὶ ισαακ καὶ ιακωβ

25 Og Gud så til Israels barn, og Gud kjentes ved dem.
And God's eyes were turned to the children of Israel and he gave them the knowledge of himself.
καὶ ἐπεῖδεν ὁ θεὸς τοὺς υἱοὺς ισραηλ καὶ ἐγνώσθη αὐτοῖς

1 Og Moses gjætte småfeet hos Jetro, sin svigerfar, presten i Midian, og han drev engang småfeet bortom ørkenen og kom til Guds berg, til Horeb*. / <* Horeb var en del av Sinai-fjellene.>
Now Moses was looking after the flock of Jethro, his father-in-law, the priest of Midian: and he took the flock to the back of the waste land and came to Horeb, the mountain of God.
καὶ μωυσῆς ἦν ποιμαίνων τὰ πρόβατα ιοθορ τοῦ γαμβροῦ αὐτοῦ τοῦ ἱερέως μαδιαμ καὶ ἤγαγεν τὰ πρόβατα ὑπὸ τὴν ἔρημον καὶ ἦλθεν εἰς τὸ ὄρος χωρηβ

2 Der åpenbarte Herrens engel sig for ham i en luende ild, midt ut av en tornebusk; og han så op, og se, tornebusken stod i lys lue, men tornebusken brente ikke op.
And the angel of the Lord was seen by him in a flame of fire coming out of a thorn-tree: and he saw that the tree was on fire, but it was not burned up.
ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου ἐν φλογὶ πυρὸς ἐκ τοῦ βάτου καὶ ὁρᾷ ὅτι ὁ βάτος καίεται πυρί ὁ δὲ βάτος οὐ κατεκαίετο

3 Og Moses sa: Jeg vil gå bort og se dette vidunderlige syn, hvorfor tornebusken ikke brenner op.
And Moses said, I will go and see this strange thing, why the tree is not burned up,
εἶπεν δὲ μωυσῆς παρελθὼν ὄψομαι τὸ ὅραμα τὸ μέγα τοῦτο τί ὅτι οὐ κατακαίεται ὁ βάτος

4 Da Herren så at han gikk bort for å se, ropte Gud til ham midt ut av tornebusken og sa: Moses, Moses! Og han svarte: Ja, her er jeg.
And when the Lord saw him turning to one side to see, God said his name out of the tree, crying, Moses, Moses. And he said, Here am I.
ὡς δὲ εἶδεν κύριος ὅτι προσάγει ἰδεῖν ἐκάλεσεν αὐτὸν κύριος ἐκ τοῦ βάτου λέγων μωυσῆ μωυσῆ ὁ δὲ εἶπεν τί ἐστιν

5 Da sa han: Kom ikke nærmere, dra dine sko av dine føtter! For det sted du står på, er hellig jord.
And he said, Do not come near: take off your shoes from your feet, for the place where you are is holy.
καὶ εἶπεν μὴ ἐγγίσῃς ὧδε λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας γῆ ἁγία ἐστίν

6 Så sa han: Jeg er din fars Gud, Abrahams Gud, Isaks Gud og Jakobs Gud. Da skjulte Moses sitt ansikt, for han fryktet for å skue Gud.
And he said, I am the God of your fathers, the God of Abraham, the God of Isaac, and the God of Jacob. And Moses kept his face covered for fear of looking on God.
καὶ εἶπεν αὐτῷ ἐγώ εἰμι ὁ θεὸς τοῦ πατρός σου θεὸς αβρααμ καὶ θεὸς ισαακ καὶ θεὸς ιακωβ ἀπέστρεψεν δὲ μωυσῆς τὸ πρόσωπον αὐτοῦ εὐλαβεῖτο γὰρ κατεμβλέψαι ἐνώπιον τοῦ θεοῦ

7 Og Herren sa: Jeg har sett mitt folks nød i Egypten, og jeg har hørt deres klagerop over arbeidsfogdene; jeg vet hvad de lider.
And God said, Truly, I have seen the grief of my people in Egypt, and their cry because of their cruel masters has come to my ears; for I have knowledge of their sorrows;
εἶπεν δὲ κύριος πρὸς μωυσῆν ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν αἰγύπτῳ καὶ τῆς κραυγῆς αὐτῶν ἀκήκοα ἀπὸ τῶν ἐργοδιωκτῶν οἶδα γὰρ τὴν ὀδύνην αὐτῶν

8 Og nu er jeg steget ned for å utfri dem av egypternes hånd og for å føre dem op fra dette land til et godt og vidtstrakt land, til et land som flyter med melk og honning, det land hvor kana'anittene bor hetittene og amorittene og ferisittene og hevittene og jebusittene.
And I have come down to take them out of the hands of the Egyptians, guiding them out of that land into a good land and wide, into a land flowing with milk and honey; into the place of the Canaanit and the Hittite and the Amorite and the Perizzite and the Hivite and the Jebusite.
καὶ κατέβην ἐξελέσθαι αὐτοὺς ἐκ χειρὸς αἰγυπτίων καὶ ἐξαγαγεῖν αὐτοὺς ἐκ τῆς γῆς ἐκείνης καὶ εἰσαγαγεῖν αὐτοὺς εἰς γῆν ἀγαθὴν καὶ πολλήν εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι εἰς τὸν τόπον τῶν χαναναί ων καὶ χετταίων καὶ αμορραίων καὶ φερεζαίων καὶ γεργεσαίων καὶ ευαίων καὶ ιεβουσαίων

9 Nu er Israels barns skrik nådd op til mig, og jeg har også sett hvorledes egypterne mishandler dem.
For now, truly, the cry of the children of Israel has come to me, and I have seen the cruel behaviour of the Egyptians to them.
καὶ νῦν ἰδοὺ κραυγὴ τῶν υἱῶν ισραηλ ἥκει πρός με κἀγὼ ἑώρακα τὸν θλιμμόν ὃν οἱ αἰγύπτιοι θλίβουσιν αὐτούς

10 Så gå nu du avsted, jeg vil sende dig til Farao, og du skal føre mitt folk, Israels barn, ut av Egypten!
Come, then, and I will send you to Pharaoh, so that you may take my people, the children of Israel, out of Egypt.
καὶ νῦν δεῦρο ἀποστείλω σε πρὸς φαραω βασιλέα αἰγύπτου καὶ ἐξάξεις τὸν λαόν μου τοὺς υἱοὺς ισραηλ ἐκ γῆς αἰγύπτου

11 Men Moses sa til Gud: Hvem er jeg, at jeg skulde gå til Farao, og at jeg skulde føre Israels barn ut av Egypten?
And Moses said to God, Who am I to go to Pharaoh and take the children of Israel out of Egypt?
καὶ εἶπεν μωυσῆς πρὸς τὸν θεόν τίς εἰμι ὅτι πορεύσομαι πρὸς φαραω βασιλέα αἰγύπτου καὶ ὅτι ἐξάξω τοὺς υἱοὺς ισραηλ ἐκ γῆς αἰγύπτου

12 Og han sa: Sannelig, jeg vil være med dig, og dette skal være dig et tegn på at jeg har sendt dig: Når du har ført folket ut av Egypten, da skal I holde gudstjeneste på dette fjell.
And he said, Truly I will be with you; and this will be the sign to you that I have sent you: when you have taken the children of Israel out of Egypt, you will give worship to God on this mountain.
εἶπεν δὲ ὁ θεὸς μωυσεῖ λέγων ὅτι ἔσομαι μετὰ σοῦ καὶ τοῦτό σοι τὸ σημεῖον ὅτι ἐγώ σε ἐξαποστέλλω ἐν τῷ ἐξαγαγεῖν σε τὸν λαόν μου ἐξ αἰγύπτου καὶ λατρεύσετε τῷ θεῷ ἐν τῷ ὄρει τούτῳ

13 Da sa Moses til Gud: Men når jeg nu kommer til Israels barn og sier til dem: Eders fedres Gud har sendt mig til eder, og de så spør mig: Hvad er hans navn? - hvad skal jeg da svare dem?
And Moses said to God, When I come to the children of Israel and say to them, The God of your fathers has sent me to you: and they say to me, What is his name? what am I to say to them?
καὶ εἶπεν μωυσῆς πρὸς τὸν θεόν ἰδοὺ ἐγὼ ἐλεύσομαι πρὸς τοὺς υἱοὺς ισραηλ καὶ ἐρῶ πρὸς αὐτούς ὁ θεὸς τῶν πατέρων ὑμῶν ἀπέσταλκέν με πρὸς ὑμᾶς ἐρωτήσουσίν με τί ὄνομα αὐτῷ τί ἐρῶ πρὸς αὐτ ύς

14 Og Gud sa til Moses: Jeg er den jeg er ; og han sa: Så skal du si til Israels barn: "Jeg er" har sendt mig til eder.
And God said to him, I AM WHAT I AM: and he said, Say to the children of Israel, I AM has sent me to you.
καὶ εἶπεν ὁ θεὸς πρὸς μωυσῆν ἐγώ εἰμι ὁ ὤν καὶ εἶπεν οὕτως ἐρεῖς τοῖς υἱοῖς ισραηλ ὁ ὢν ἀπέσταλκέν με πρὸς ὑμᾶς

15 Og Gud sa fremdeles til Moses: Så skal du si til Israels barn: Herren*, eders fedres Gud, Abrahams Gud, Isaks Gud og Jakobs Gud, har sendt mig til eder. Dette er mitt navn til evig tid, og så skal de kalle mig fra slekt til slekt. / <* Jahve d.e. han er, 2MO 3, 14. JES 42, 8. SLM 135, 13.>
And God went on to say to Moses, Say to the children of Israel, The Lord, the God of your fathers, the God of Abraham, of Isaac, and of Jacob, has sent me to you: this is my name for ever, and this i my sign to all generations.
καὶ εἶπεν ὁ θεὸς πάλιν πρὸς μωυσῆν οὕτως ἐρεῖς τοῖς υἱοῖς ισραηλ κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν θεὸς αβρααμ καὶ θεὸς ισαακ καὶ θεὸς ιακωβ ἀπέσταλκέν με πρὸς ὑμᾶς τοῦτό μού ἐστιν ὄνομα αἰών ον καὶ μνημόσυνον γενεῶν γενεαῖς

16 Gå nu og kall sammen de eldste i Israel og si til dem: Herren, eders fedres Gud, har åpenbaret sig for mig, Abrahams, Isaks og Jakobs Gud, og sagt: Jeg har sett til eder og vet hvorledes de farer fren mot eder i Egypten.
Go and get together the chiefs of the children of Israel, and say to them, The Lord, the God of your fathers, the God of Abraham, of Isaac, and of Jacob, has been seen by me, and has said, Truly I ha taken up your cause, because of what is done to you in Egypt;
ἐλθὼν οὖν συνάγαγε τὴν γερουσίαν τῶν υἱῶν ισραηλ καὶ ἐρεῖς πρὸς αὐτούς κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν ὤπταί μοι θεὸς αβρααμ καὶ θεὸς ισαακ καὶ θεὸς ιακωβ λέγων ἐπισκοπῇ ἐπέσκεμμαι ὑμᾶς καὶ ὅσα συμβέβηκεν ὑμῖν ἐν αἰγύπτῳ

17 Og jeg sa: Jeg vil føre eder ut av alt det onde I lider i Egypten, til kana'anittenes og hetittenes og amorittenes og ferisittenes og hevittenes og jebusittenes land, til et land som flyter med melk og honni
And I have said, I will take you up out of the sorrows of Egypt into the land of the Canaanite and the Hittite and the Amorite and the Perizzite and the Hivite and the Jebusite, into a land flowing witl milk and honey.
καὶ εἶπον ἀναβιβάσω ὑμᾶς ἐκ τῆς κακώσεως τῶν αἰγυπτίων εἰς τὴν γῆν τῶν χαναναίων καὶ χετταίων καὶ αμορραίων καὶ φερεζαίων καὶ γεργεσαίων καὶ ευαίων καὶ ιεβουσαίων εἰς γῆν ῥέουσαν γάλα κ αὶ μέλι

18 Og de skal høre på dine ord, og du skal gå inn til kongen i Egypten, du og de eldste i Israel, og I skal si til ham: Herren, hebreernes Gud, har møtt oss; la oss nu gå tre dagsreiser ut i ørkenen og ofre t Herren vår Gud.
And they will give ear to your voice: and you, with the chiefs of Israel, will go to Pharaoh, the king of Egypt, and say to him, The Lord, the God of the Hebrews, has come to us: let us then go three da journey into the waste land to make an offering to the Lord our God.
καὶ εἰσακούσονταί σου τῆς φωνῆς καὶ εἰσελεύσῃ σὺ καὶ ἡ γερουσία ισραηλ πρὸς φαραω βασιλέα αἰγύπτου καὶ ἐρεῖς πρὸς αὐτόν ὁ θεὸς τῶν εβραίων προσκέκληται ἡμᾶς πορευσώμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον ἵνα θύσωμεν τῷ θεῷ ἡμῶν

19 Men jeg vet at kongen i Egypten ikke vil gi eder lov til å dra ut, ikke engang om han får kjenne en sterk hånd over sig.
And I am certain that the king of Egypt will not let you go without being forced.
ἐγὼ δὲ οἶδα ὅτι οὐ προήσεται ὑμᾶς φαραω βασιλεὺς αἰγύπτου πορευθῆναι ἐὰν μὴ μετὰ χειρὸς κραταιᾶς

20 Derfor vil jeg rekke ut min hånd og slå Egypten med alle mine under, som jeg vil gjøre midt iblandt dem; så skal han la eder fare.
But I will put out my hand and overcome Egypt with all the wonders which I will do among them: and after that he will let you go.
καὶ ἐκτείνας τὴν χεῖρα πατάξω τοὺς αἰγυπτίους ἐν πᾶσι τοῖς θαυμασίοις μου οἷς ποιήσω ἐν αὐτοῖς καὶ μετὰ ταῦτα ἐξαποστελεῖ ὑμᾶς

21 Og jeg vil la dette folk finne yndest hos egypterne, så I, når I drar ut, ikke skal dra tomhendt bort;
And I will give this people grace in the eyes of the Egyptians, so that when you go out you will go out with your hands full.
καὶ δώσω χάριν τῷ λαῷ τούτῳ ἐναντίον τῶν αἰγυπτίων ὅταν δὲ ἀποτρέχητε οὐκ ἀπελεύσεσθε κενοί

22 men enhver kvinne skal be sin grannekvinne og den som bor i hennes hus, om smykker av sølv og gull og om klær, og I skal la eders sønner og eders døtre ta dem på sig; dette er det bytte I skal ta av egypterne.
For every woman will get from her neighbour and from the woman living in her house, ornaments of silver and gold, and clothing; and you will put them on your sons and your daughters; you will ta the best of their goods from the Egyptians.
αἰτήσει γυνὴ παρὰ γείτονος καὶ συσκήνου αὐτῆς σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμόν καὶ ἐπιθήσετε ἐπὶ τοὺς υἱοὺς ὑμῶν καὶ ἐπὶ τὰς θυγατέρας ὑμῶν καὶ σκυλεύσετε τοὺς αἰγυπτίους

1 Moses svarte: De vil visst ikke tro mig og ikke høre på mig, de vil si: Herren har ikke åpenbaret sig for dig.
And Moses, answering, said, It is certain that they will not have faith in me or give ear to my voice; for they will say, You have not seen the Lord.
ἀπεκρίθη δὲ μωυσῆς καὶ εἶπεν ἐὰν οὖν μὴ πιστεύσωσίν μοι μηδὲ εἰσακούσωσιν τῆς φωνῆς μου ἐροῦσιν γὰρ ὅτι οὐκ ὤπταί σοι ὁ θεός τί ἐρῶ πρὸς αὐτούς

2 Da sa Herren til ham: Hvad er det du har i hånden? Han svarte: En stav.
And the Lord said to him, What is that in your hand? And he said, A rod.
εἶπεν δὲ αὐτῷ κύριος τί τοῦτό ἐστιν τὸ ἐν τῇ χειρί σου ὁ δὲ εἶπεν ῥάβδος

3 Da sa han: Kast den på jorden! Og han kastet den på jorden, og den blev til en slange; og Moses flyktet for den.
And he said, Put it down on the earth. And he put it down on the earth and it became a snake; and Moses went running from it.
καὶ εἶπεν ῥῖψον αὐτὴν ἐπὶ τὴν γῆν καὶ ἔρριψεν αὐτὴν ἐπὶ τὴν γῆν καὶ ἐγένετο ὄφις καὶ ἔφυγεν μωυσῆς ἀπ' αὐτοῦ

4 Og Herren sa til Moses: Rekk ut din hånd og grip den i halen! Så rakte han ut hånden og grep fatt i den, og den blev til en stav i hans hånd.
And the Lord said to Moses, Put out your hand and take it by the tail: (and he put out his hand and took a grip of it and it became a rod in his hand:)
καὶ εἶπεν κύριος πρὸς μωυσῆν ἔκτεινον τὴν χεῖρα καὶ ἐπιλαβοῦ τῆς κέρκου ἐκτείνας οὖν τὴν χεῖρα ἐπελάβετο τῆς κέρκου καὶ ἐγένετο ῥάβδος ἐν τῇ χειρὶ αὐτοῦ

5 Så må de vel tro at Herren, deres fedres Gud, Abrahams Gud, Isaks Gud og Jakobs Gud, har åpenbaret sig for dig.
So that they may be certain that the Lord, the God of their fathers, the God of Abraham, of Isaac, and of Jacob, has been seen by you.
ἵνα πιστεύσωσίν σοι ὅτι ὤπταί σοι κύριος ὁ θεὸς τῶν πατέρων αὐτῶν θεὸς αβρααμ καὶ θεὸς ισαακ καὶ θεὸς ιακωβ

6 Og Herren sa fremdeles til ham: Stikk din hånd i barmen! Og han stakk sin hånd i barmen; og da han drog den ut, se, da var hans hånd spedalsk, som sne.
Then the Lord said to him again, Put your hand inside your clothing. And he put his hand inside his robe: and when he took it out it was like the hand of a leper, as white as snow.
εἶπεν δὲ αὐτῷ κύριος πάλιν εἰσένεγκε τὴν χεῖρά σου εἰς τὸν κόλπον σου καὶ εἰσήνεγκεν τὴν χεῖρα αὐτοῦ εἰς τὸν κόλπον αὐτοῦ καὶ ἐξήνεγκεν τὴν χεῖρα αὐτοῦ ἐκ τοῦ κόλπου αὐτοῦ καὶ ἐγενήθη ἡ χεὶρ αὐτοῦ ὡσεὶ χιών

7 Og han sa: Stikk din hånd i barmen igjen! Og han stakk igjen sin hånd i barmen; og da han drog den ut av sin barm, se, da var den igjen blitt som hans legeme ellers.
And he said, Put your hand inside your robe again. (And he put his hand into his robe again, and when he took it out he saw that it had become like his other flesh.)
καὶ εἶπεν πάλιν εἰσένεγκε τὴν χεῖρά σου εἰς τὸν κόλπον σου καὶ εἰσήνεγκεν τὴν χεῖρα εἰς τὸν κόλπον αὐτοῦ καὶ ἐξήνεγκεν αὐτὴν ἐκ τοῦ κόλπου αὐτοῦ καὶ πάλιν ἀπεκατέστη εἰς τὴν χρόαν τῆς σαρκὸς αὐτοῦ

8 Om de nu ikke tror dig eller akter på det første tegn, så vil de da visst tro på det andre tegn.
And if they do not have faith in you or give ear to the voice of the first sign, they will have faith in the second sign.
ἐὰν δὲ μὴ πιστεύσωσίν σοι μηδὲ εἰσακούσωσιν τῆς φωνῆς τοῦ σημείου τοῦ πρώτου πιστεύσουσίν σοι τῆς φωνῆς τοῦ σημείου τοῦ ἐσχάτου

9 Men tror de ikke engang på disse to tegn, og vil de ikke høre på dig, da skal du ta vann av elven og helle det ut på jorden, og det vann du tar av elven, det skal bli til blod på jorden.
And if they have no faith even in these two signs and will not give ear to your voice, then you are to take the water of the Nile and put it on the dry land: and the water you take out of the river will become blood on the dry land.
καὶ ἔσται ἐὰν μὴ πιστεύσωσίν σοι τοῖς δυσὶ σημείοις τούτοις μηδὲ εἰσακούσωσιν τῆς φωνῆς σου λήμψῃ ἀπὸ τοῦ ὕδατος τοῦ ποταμοῦ καὶ ἐκχεεῖς ἐπὶ τὸ ξηρόν καὶ ἔσται τὸ ὕδωρ ὃ ἐὰν λάβῃς ἀπὸ τοῦ ποταμοῦ αἷμα ἐπὶ τοῦ ξηροῦ

10 Men Moses sa til Herren: Hør mig, Herre! Jeg har aldri vært nogen ordets mann, hverken før, eller siden du begynte å tale til din tjener; jeg er tung i mæle og tung i tale.
And Moses said to the Lord, O Lord, I am not a man of words; I have never been so, and am not now, even after what you have said to your servant: for talking is hard for me, and I am slow of tongue.
εἶπεν δὲ μωυσῆς πρὸς κύριον δέομαι κύριε οὐχ ἱκανός εἰμι πρὸ τῆς ἐχθὲς οὐδὲ πρὸ τῆς τρίτης ἡμέρας οὐδὲ ἀφ' οὗ ἤρξω λαλεῖν τῷ θεράποντί σου ἰσχνόφωνος καὶ βραδύγλωσσος ἐγώ εἰμι

11 Men Herren sa til ham: Hvem har gitt mennesket munn, og hvem gjør stum eller døv eller seende eller blind? Er det ikke jeg, Herren?
And the Lord said to him, Who has made man's mouth? who takes away a man's voice or hearing, or makes him seeing or blind? Is it not I, the Lord?
εἶπεν δὲ κύριος πρὸς μωυσῆν τίς ἔδωκεν στόμα ἀνθρώπῳ καὶ τίς ἐποίησεν δύσκωφον καὶ κωφόν βλέποντα καὶ τυφλόν οὐκ ἐγὼ ὁ θεός

12 Gå nu du, og jeg vil være med din munn og lære dig hvad du skal tale.
So go now, and I will be with your mouth, teaching you what to say.
καὶ νῦν πορεύου καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου καὶ συμβιβάσω σε ὃ μέλλεις λαλῆσαι

13 Men han sa: Hør mig, Herre! Send bud med hvem du ellers vil!
And he said, O Lord, send, if you will, by the hand of anyone whom it seems good to you to send.
καὶ εἶπεν μωυσῆς δέομαι κύριε προχείρισαι δυνάμενον ἄλλον ὃν ἀποστελεῖς

14 Da optendtes Herrens vrede mot Moses, og han sa: Har du ikke din bror Aron, levitten? Han, vet jeg, kan tale; og nu kommer han dig også i møte, og når han ser dig, blir han glad.
And the Lord was angry with Moses, and said, Is there not Aaron, your brother, the Levite? To my knowledge he is good at talking. And now he is coming out to you: and when he sees you he will be in his heart.
καὶ θυμωθεὶς ὀργῇ κύριος ἐπὶ μωυσῆν εἶπεν οὐκ ἰδοὺ ααρων ὁ ἀδελφός σου ὁ λευίτης ἐπίσταμαι ὅτι λαλῶν λαλήσει αὐτός σοι καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται εἰς συνάντησίν σοι καὶ ἰδών σε χαρήσεται ἐν αυτῷ

15 Og du skal tale til ham og legge ordene i hans munn, og jeg skal være med din munn og med hans munn og lære eder hvad I skal gjøre.
Let him give ear to your voice, and you will put my words in his mouth; and I will be with your mouth and with his, teaching you what you have to do.
καὶ ἐρεῖς πρὸς αὐτὸν καὶ δώσεις τὰ ῥήματά μου εἰς τὸ στόμα αὐτοῦ καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου καὶ τὸ στόμα αὐτοῦ καὶ συμβιβάσω ὑμᾶς ἃ ποιήσετε

16 Og han skal tale til folket for dig; han skal være din munn, og du skal være Gud for ham.
And he will do the talking for you to the people: he will be to you as a mouth and you will be to him as God.
καὶ αὐτός σοι προσλαλήσει πρὸς τὸν λαόν καὶ αὐτὸς ἔσται σου στόμα σὺ δὲ αὐτῷ ἔσῃ τὰ πρὸς τὸν θεόν

17 Og du skal ta denne stav i din hånd; med den skal du gjøre tegnene.
And take in your hand this rod with which you will do the signs.
καὶ τὴν ῥάβδον ταύτην τὴν στραφεῖσαν εἰς ὄφιν λήμψῃ ἐν τῇ χειρί σου ἐν ᾗ ποιήσεις ἐν αὐτῇ τὰ σημεῖα

18 Så gikk Moses, og da han kom tilbake til Jetro, sin svigerfar, sa han til ham: Kjære, la mig få dra tilbake til mine brødre i Egypten og se om de ennu er i live. Og Jetro sa til Moses: Dra bort i fred!
And Moses went back to Jethro, his father-in-law, and said to him, Let me go back now to my relations in Egypt and see if they are still living. And Jethro said to Moses, Go in peace.
ἐπορεύθη δὲ μωυσῆς καὶ ἀπέστρεψεν πρὸς ιοθορ τὸν γαμβρὸν αὐτοῦ καὶ λέγει πορεύσομαι καὶ ἀποστρέψω πρὸς τοὺς ἀδελφούς μου τοὺς ἐν αἰγύπτῳ καὶ ὄψομαι εἰ ἔτι ζῶσιν καὶ εἶπεν ιοθορ μωυσῇ βά διζε ὑγιαίνων

19 Og Herren sa til Moses i Midian: Dra avsted og vend tilbake til Egypten! Nu er de døde alle de som stod dig efter livet.
And the Lord said to Moses in Midian, Go back to Egypt, for all the men are dead who were attempting to take your life.
μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς αἰγύπτου εἶπεν δὲ κύριος πρὸς μωυσῆν ἐν μαδιαμ βάδιζε ἄπελθε εἰς αἴγυπτον τεθνήκασιν γὰρ πάντες οἱ ζητοῦντές σου τὴν ψυχήν

20 Så tok Moses sin hustru og sine sønner og satte dem på asenet og vendte tilbake til Egyptens land; og Moses tok Guds stav i sin hånd.
And Moses took his wife and his sons and put them on an ass and went back to the land of Egypt: and he took the rod of God in his hand.
ἀναλαβὼν δὲ μωυσῆς τὴν γυναῖκα καὶ τὰ παιδία ἀνεβίβασεν αὐτὰ ἐπὶ τὰ ὑποζύγια καὶ ἐπέστρεψεν εἰς αἴγυπτον ἔλαβεν δὲ μωυσῆς τὴν ῥάβδον τὴν παρὰ τοῦ θεοῦ ἐν τῇ χειρὶ αὐτοῦ

21 Og Herren sa til Moses: Når du nu vender tilbake til Egypten, så se til at du gjør alle de under som jeg har gitt dig makt til å gjøre, for Faraos øine; men jeg vil forherde hans hjerte, så han ikke lar folket fare.
And the Lord said to Moses, When you go back to Egypt, see that you do before Pharaoh all the wonders which I have given you power to do: but I will make his heart hard and he will not let the pec go.
εἶπεν δὲ κύριος πρὸς μωυσῆν πορευομένου σου καὶ ἀποστρέφοντος εἰς αἴγυπτον ὅρα πάντα τὰ τέρατα ἃ ἔδωκα ἐν ταῖς χερσίν σου ποιήσεις αὐτὰ ἐναντίον φαραω ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν αὐτοῦ καὶ οὐ μὴ ἐξαποστείλῃ τὸν λαόν

22 Da skal du si til Farao: Så sier Herren: Min sønn, min førstefødte, er Israel,
And you are to say to Pharaoh, The Lord says, Israel is the first of my sons:
σὺ δὲ ἐρεῖς τῷ φαραω τάδε λέγει κύριος υἱὸς πρωτότοκός μου ισραηλ

23 og jeg sa til dig: La min sønn fare, så han kan tjene mig, men du vilde ikke la ham fare; derfor vil jeg nu slå ihjel din sønn, din førstefødte.
And I said to you, Let my son go, so that he may give me worship; and you did not let him go: so now I will put the first of your sons to death.
εἶπα δέ σοι ἐξαπόστειλον τὸν λαόν μου ἵνα μοι λατρεύσῃ εἰ μὲν οὖν μὴ βούλει ἐξαποστεῖλαι αὐτούς ὅρα οὖν ἐγὼ ἀποκτενῶ τὸν υἱόν σου τὸν πρωτότοκον

24 Underveis, på et hvilested, hendte det at Herren kom imot ham og søkte å ta hans liv.
Now on the journey, at the night's resting-place, the Lord came in his way and would have put him to death.
ἐγένετο δὲ ἐν τῇ ὁδῷ ἐν τῷ καταλύματι συνήντησεν αὐτῷ ἄγγελος κυρίου καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι

25 Da tok Sippora en skarp sten og skar bort sin sønns forhud og kastet den for hans føtter og sa: Sannelig, du er mig en blodbrudgom.
Then Zipporah took a sharp stone, and cutting off the skin of her son's private parts, and touching his feet with it, she said, Truly you are a husband of blood to me.
καὶ λαβοῦσα σεπφωρα ψῆφον περιέτεμεν τὴν ἀκροβυστίαν τοῦ υἱοῦ αὐτῆς καὶ προσέπεσεν πρὸς τοὺς πόδας καὶ εἶπεν ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου

26 Så lot han ham være; da sa hun: En blodbrudgom for omskjærelsens skyld.
So he let him go. Then she said, You are a husband of blood because of the circumcision.
καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ διότι εἶπεν ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου

27 Og Herren sa til Aron: Gå Moses i møte i ørkenen! Og han gikk og traff ham ved Guds berg og kysset ham.
And the Lord said to Aaron, Go into the waste land and you will see Moses. So he went and came across Moses at the mountain of God, and gave him a kiss.
εἶπεν δὲ κύριος πρὸς ααρων πορεύθητι εἰς συνάντησιν μωυσεῖ εἰς τὴν ἔρημον καὶ ἐπορεύθη καὶ συνήντησεν αὐτῷ ἐν τῷ ὄρει τοῦ θεοῦ καὶ κατεφίλησαν ἀλλήλους

28 Og Moses forkynte Aron alt hvad Herren, som sendte ham, hadde talt, og alle de tegn han hadde pålagt ham å gjøre.
And Moses gave Aaron an account of all the words of the Lord which he had sent him to say, and of all the signs which he had given him orders to do.
καὶ ἀνήγγειλεν μωυσῆς τῷ ααρων πάντας τοὺς λόγους κυρίου οὓς ἀπέστειλεν καὶ πάντα τὰ σημεῖα ἃ ἐνετείλατο αὐτῷ

29 Så gikk Moses og Aron; og de samlet alle de eldste av Israels barn.
Then Moses and Aaron went and got together all the chiefs of the children of Israel:
ἐπορεύθη δὲ μωυσῆς καὶ ααρων καὶ συνήγαγον τὴν γερουσίαν τῶν υἱῶν ισραηλ

30 Og Aron bar frem alle de ord Herren hadde talt til Moses, og han gjorde tegnene for folkets øine.
And Aaron said to them all the words the Lord had said to Moses, and did the signs before all the people.
καὶ ἐλάλησεν ααρων πάντα τὰ ῥήματα ταῦτα ἃ ἐλάλησεν ὁ θεὸς πρὸς μωυσῆν καὶ ἐποίησεν τὰ σημεῖα ἐναντίον τοῦ λαοῦ

31 Og folket trodde; og da de hørte hvorledes Herren hadde sett til Israels barn og gitt akt på deres nød, bøide de sig og tilbad.
And the people had faith in them; and hearing that the Lord had taken up the cause of the children of Israel and had seen their troubles, with bent heads they gave him worship.
καὶ ἐπίστευσεν ὁ λαὸς καὶ ἐχάρη ὅτι ἐπεσκέψατο ὁ θεὸς τοὺς υἱοὺς ισραηλ καὶ ὅτι εἶδεν αὐτῶν τὴν θλῖψιν κύψας δὲ ὁ λαὸς προσεκύνησεν

1 Derefter gikk Moses og Aron inn til Farao og sa: Så sier Herren, Israels Gud: La mitt folk fare, så de kan holde høitid for mig i ørkenen!
And after that, Moses and Aaron came to Pharaoh, and said, The Lord, the God of Israel, says, Let my people go so that they may keep a feast to me in the waste land.
καὶ μετὰ ταῦτα εἰσῆλθεν μωυσῆς καὶ ααρων πρὸς φαραω καὶ εἶπαν αὐτῷ τάδε λέγει κύριος ὁ θεὸς ισραηλ ἐξαπόστειλον τὸν λαόν μου ἵνα μοι ἑορτάσωσιν ἐν τῇ ἐρήμῳ

2 Men Farao sa: Hvem er Herren som jeg skal lyde og la Israel fare? Jeg kjenner ikke Herren, og heller ikke vil jeg la Israel fare.
And Pharaoh said, Who is the Lord, to whose voice I am to give ear and let Israel go? I have no knowledge of the Lord and I will not let Israel go.
καὶ εἶπεν φαραω τίς ἐστιν οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ ὥστε ἐξαποστεῖλαι τοὺς υἱοὺς ισραηλ οὐκ οἶδα τὸν κύριον καὶ τὸν ισραηλ οὐκ ἐξαποστέλλω

3 Da sa de: Hebreernes Gud har møtt oss; la oss dra tre dagsreiser ut i ørkenen og ofre til Herren vår Gud, så han ikke skal slå oss med pest eller sverd!
And they said, The God of the Hebrews has come to us: let us then go three days' journey into the waste land to make an offering to the Lord our God, so that he may not send death on us by disease or the sword.
καὶ λέγουσιν αὐτῷ ὁ θεὸς τῶν εβραίων προσκέκληται ἡμᾶς πορευσόμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον ὅπως θύσωμεν τῷ θεῷ ἡμῶν μήποτε συναντήσῃ ἡμῖν θάνατος ἢ φόνος

4 Men kongen i Egypten sa til dem: Hvorfor vil I, Moses og Aron, dra folket fra dets arbeid? Gå og gjør det I skal!
And the king of Egypt said to them, Why do you, Moses and Aaron, take the people away from their work? get back to your work.
καὶ εἶπεν αὐτοῖς ὁ βασιλεὺς αἰγύπτου ἵνα τί μωυσῆ καὶ ααρων διαστρέφετε τὸν λαόν μου ἀπὸ τῶν ἔργων ἀπέλθατε ἕκαστος ὑμῶν πρὸς τὰ ἔργα αὐτοῦ

5 Så sa Farao: Se, folket er nu blitt altfor tallrikt i landet, og så vil I dra dem bort fra det de har å gjøre!
And Pharaoh said, Truly, the people of the land are increasing in number, and you are keeping them back from their work.
καὶ εἶπεν φαραω ἰδοὺ νῦν πολυπληθεῖ ὁ λαός μὴ οὖν καταπαύσωμεν αὐτοὺς ἀπὸ τῶν ἔργων

6 Og samme dag bød Farao arbeidsfogdene og opsynsmennene over folket og sa:
The same day Pharaoh gave orders to the overseers and those who were responsible for the work, saying,
συνέταξεν δὲ φαραω τοῖς ἐργοδιώκταις τοῦ λαοῦ καὶ τοῖς γραμματεῦσιν λέγων

7 I skal ikke mere gi folket halm til teglarbeidet, som før; de skal selv gå og sanke sig halm.
Give these men no more dry stems for their brick-making as you have been doing; let them go and get the material for themselves.
οὐκέτι προστεθήσεται διδόναι ἄχυρον τῷ λαῷ εἰς τὴν πλινθουργίαν καθάπερ ἐχθὲς καὶ τρίτην ἡμέραν αὐτοὶ πορευέσθωσαν καὶ συναγαγέτωσαν ἑαυτοῖς ἄχυρα

8 Men den samme mengde teglsten som de før har gjort, skal I pålegge dem; I skal ikke avkorte noget i deres arbeid. For de er dovne; derfor skriker de og sier: La oss gå og ofre til vår Gud!
But see that they make the same number of bricks as before, and no less: for they have no love for work; and so they are crying out and saying, Let us go and make an offering to our God.
καὶ τὴν σύνταξιν τῆς πλινθείας ἧς αὐτοὶ ποιοῦσιν καθ' ἑκάστην ἡμέραν ἐπιβαλεῖς αὐτοῖς οὐκ ἀφελεῖς οὐδέν σχολάζουσιν γάρ διὰ τοῦτο κεκράγασιν λέγοντες πορευθῶμεν καὶ θύσωμεν τῷ θεῷ ἡμῶν

9 Legg tungt arbeid på disse mennesker, så de har nok med det og ikke hører efter løgnaktige ord!
Give the men harder work, and see that they do it; let them not give attention to false words.
βαρυνέσθω τὰ ἔργα τῶν ἀνθρώπων τούτων καὶ μεριμνάτωσαν ταῦτα καὶ μὴ μεριμνάτωσαν ἐν λόγοις κενοῖς

10 Da gikk arbeidsfogdene og opsynsmennene ut og sa til folket: Så sier Farao: Jeg gir eder ikke lenger halm.
And the overseers of the people and their responsible men went out and said to the people, Pharaoh says, I will give you no more dry stems.
κατέσπευδον δὲ αὐτοὺς οἱ ἐργοδιῶκται καὶ οἱ γραμματεῖς καὶ ἔλεγον πρὸς τὸν λαὸν λέγοντες τάδε λέγει φαραω οὐκέτι δίδωμι ὑμῖν ἄχυρα

11 Gå selv og finn eder halm, hvor I kan; Men i eders arbeid skal det ikke avkortes noget.
Go yourselves and get dry stems wherever you are able; for your work is not to be any less.
αὐτοὶ ὑμεῖς πορευόμενοι συλλέγετε ἑαυτοῖς ἄχυρα ὅθεν ἐὰν εὕρητε οὐ γὰρ ἀφαιρεῖται ἀπὸ τῆς συντάξεως ὑμῶν οὐθέν

12 Da spredte folket sig over hele Egyptens land for å sanke stubber til å bruke istedenfor halm.
So the people were sent in all directions through the land of Egypt to get dry grass for stems.
μεθύσω τὰ βέλη μου ἀφ' αἵματος καὶ ἡ μάχαιρά μου καταφάγεται κρέα ἀφ' αἵματος τραυματιῶν καὶ αἰχμαλωσίας ἀπὸ κεφαλῆς ἀρχόντων ἐχθρῶν

43 Pris, I hedninger, hans folk! For han hevner sine tjeneres blod; over sine fiender fører han hevn og gjør soning for sitt land, for sitt folk.
Be glad, O you his people, over the nations; for he will take payment for the blood of his servants, and will give punishment to his haters, and take away the sin of his land, for his people.
εὐφράνθητε οὐρανοί ἅμα αὐτῷ καὶ προσκυνησάτωσαν αὐτῷ πάντες υἱοὶ θεοῦ εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικῶται καὶ ἐκδικήσει καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς καὶ τοῖς μισοῦσιν ἀνταποδώσει καὶ ἐκκαθαριεῖ κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ

44 Så kom da Moses og fremsa hele denne sang for folket, han og Hosea, Nuns sønn.
So Moses said all the words of this song in the hearing of the people, he and Hoshea, the son of Nun.
καὶ ἔγραψεν μωυσῆς τὴν ᾠδὴν ταύτην ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ ἐδίδαξεν αὐτὴν τοὺς υἱοὺς ισραηλ καὶ εἰσῆλθεν μωυσῆς καὶ ἐλάλησεν πάντας τοὺς λόγους τοῦ νόμου τούτου εἰς τὰ ὦτα τοῦ λαοῦ αὐτὸς καὶ αἰ ἰησοῦς ὁ τοῦ ναυη

45 Og da Moses var ferdig med å tale alle disse ord til hele Israel,
And after saying all this to the people,
καὶ συνετέλεσεν μωυσῆς λαλῶν παντὶ ισραηλ

46 sa han til dem: Akt på alle de ord som jeg idag gjør til et vidne mot eder, og byd eders barn å ta vare på dem, så de holder alle ordene i denne lov!
Moses said to them, Let the words which I have said to you today go deep into your hearts, and give orders to your children to do every word of this law.
καὶ εἶπεν πρὸς αὐτούς προσέχετε τῇ καρδίᾳ ἐπὶ πάντας τοὺς λόγους τούτους οὓς ἐγὼ διαμαρτύρομαι ὑμῖν σήμερον ἃ ἐντελεῖσθε τοῖς υἱοῖς ὑμῶν φυλάσσειν καὶ ποιεῖν πάντας τοὺς λόγους τοῦ νόμου το ύτου

47 For dette er ikke noget tomt ord for eder, men det er eders liv, og ved dette ord skal I leve lenge i det land I nu drar til over Jordan og skal ta i eie.
And this is no small thing for you, but it is your life, and through this you may make your days long in the land which you are going over Jordan to take for your heritage.
ὅτι οὐχὶ λόγος κενὸς οὗτος ὑμῖν ὅτι αὕτη ἡ ζωὴ ὑμῶν καὶ ἕνεκεν τοῦ λόγου τούτου μακροημερεύσετε ἐπὶ τῆς γῆς εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν ιορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν

48 Samme dag talte Herren til Moses og sa:
That same day the Lord said to Moses,
καὶ ἐλάλησεν κύριος πρὸς μωυσῆν ἐν τῇ ἡμέρᾳ ταύτῃ λέγων

49 Gå op på Abarim-fjellet her, på Nebo-fjellet i Moabs land midt imot Jeriko, og se ut over Kana'ans land, som jeg gir Israels barn til eiendom,
Go up into this mountain of Abarim, to Mount Nebo in the land of Moab opposite Jericho; there you may see the land of Canaan, which I am giving to the children of Israel for their heritage:
ἀνάβηθι εἰς τὸ ὄρος τὸ αβαριν τοῦτο ὄρος ναβαυ ὅ ἐστιν ἐν γῇ μωαβ κατὰ πρόσωπον ιεριχω καὶ ἰδὲ τὴν γῆν χανααν ἣν ἐγὼ δίδωμι τοῖς υἱοῖς ισραηλ εἰς κατάσχεσιν

50 Og der på fjellet som du går op på, skal du dø og samles til dine fedre, likesom Aron, din bror, døde på fjellet Hor og blev samlet til sine fedre,
And let death come to you on the mountain where you are going, and be put to rest with your people; as death came to Aaron, your brother, on Mount Hor, where he was put to rest with his people:
καὶ τελεύτα ἐν τῷ ὄρει εἰς ὃ ἀναβαίνεις ἐκεῖ καὶ προστέθητι πρὸς τὸν λαόν σου ὃν τρόπον ἀπέθανεν ααρων ὁ ἀδελφός σου ἐν ωρ τῷ ὄρει καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ

51 fordi I syndet mot mig blandt Israels barn ved Meribas vann i Kades i ørkenen Sin og ikke helliget mig blandt Israels barn.
Because of your sin against me before the children of Israel at the waters of Meribath Kadesh in the waste land of Zin; because you did not keep my name holy among the children of Israel.
διότι ἠπειθήσατε τῷ ῥήματί μου ἐν τοῖς υἱοῖς ισραηλ ἐπὶ τοῦ ὕδατος ἀντιλογίας καδης ἐν τῇ ἐρήμῳ σιν διότι οὐχ ἡγιάσατέ με ἐν τοῖς υἱοῖς ισραηλ

52 Du skal få se landet midt foran dig, men du skal ikke komme inn i det land som jeg gir Israels barn.
So you will see the land before you, but you will not go into the land which I am giving to the children of Israel.
ὅτι ἀπέναντι ὄψῃ τὴν γῆν καὶ ἐκεῖ οὐκ εἰσελεύσῃ

1 Dette er den velsignelse som Moses, den Guds mann, lyste over Israels barn før sin død.
Now this is the blessing which Moses, the man of God, gave to the children of Israel before his death.
καὶ αὕτη ἡ εὐλογία ἣν εὐλόγησεν μωυσῆς ἄνθρωπος τοῦ θεοῦ τοὺς υἱοὺς ισραηλ πρὸ τῆς τελευτῆς αὐτοῦ

2 Han sa: Herren kom fra Sinai, han steg op for dem fra Se'ir; han strålte frem fra Parans fjell og kom fra hellige titusener; ved hans høire hånd lyste lovens ild* for dem. / <* den ild som ledsaget lovgivningen.>
He said, The Lord came from Sinai, dawning on them from Seir; shining out from Mount Paran, coming from Meribath Kadesh: from his right hand went flames of fire: his wrath made waste the peoples.
καὶ εἶπεν κύριος ἐκ σινα ἥκει καὶ ἐπέφανεν ἐκ σηιρ ἡμῖν καὶ κατέσπευσεν ἐξ ὄρους φαραν σὺν μυριάσιν καδης ἐκ δεξιῶν αὐτοῦ ἄγγελοι μετ' αὐτοῦ

3 Ja, han elsker sitt folk; alle dine* hellige er i din hånd; de ligger for din fot, de tar imot dine ord. / <* Guds.>
All his holy ones are at his hand; they go at his feet; they are lifted up on his wings.
καὶ ἐφείσατο τοῦ λαοῦ αὐτοῦ καὶ πάντες οἱ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου καὶ οὗτοι ὑπὸ σέ εἰσιν καὶ ἐδέξατο ἀπὸ τῶν λόγων αὐτοῦ

4 En lov gav Moses oss, en arvedel for Jakobs menighet.
Moses gave us a law, a heritage for the people of Jacob.
νόμον ὃν ἐνετείλατο ἡμῖν μωυσῆς κληρονομίαν συναγωγαῖς ιακωβ

5 Og han* blev konge i Jesurun**, da folkets høvdinger samlet sig, Israels stammer alle sammen. / <* Gud.> / <** 5MO 32, 15.>
And there was a king in Jeshurun, when the heads of the people and the tribes of Israel came together.
καὶ ἔσται ἐν τῷ ἠγαπημένῳ ἄρχων συναχθέντων ἀρχόντων λαῶν ἅμα φυλαῖς ισραηλ

6 Måtte Ruben leve og aldri dø, men hans menn bli få i tall!
Let life not death be Reuben's, let not the number of his men be small.
ζήτω ρουβην καὶ μὴ ἀποθανέτω καὶ ἔστω πολὺς ἐν ἀριθμῷ

7 Og dette sa han om Juda: Hør, Herre, Judas røst, og før ham hjem til sitt folk! Med sine hender strider han for det, og du skal være hans hjelp mot hans fiender.
And this is the blessing of Judah: he said, Give ear, O Lord, to the voice of Judah and make him one with his people: let your hands take up his cause, and be his help against his attackers.
καὶ αὕτη ιουδα εἰσάκουσον κύριε φωνῆς ιουδα καὶ εἰς τὸν λαὸν αὐτοῦ εἰσέλθοισαν αἱ χεῖρες αὐτοῦ διακρινοῦσιν αὐτῷ καὶ βοηθὸς ἐκ τῶν ἐχθρῶν αὐτοῦ ἔσῃ

8 Og om Levi sa han: Dine tummim og urim hører din fromme mann til, han som du fristet ved Massa, som du trettet med ved Meribas vann,
And of Levi he said, Give your Thummim to Levi and let the Urim be with your loved one, whom you put to the test at Massah, with whom you were angry at the waters of Meribah;
καὶ τῷ λευι εἶπεν δότε λευι δήλους αὐτοῦ καὶ ἀλήθειαν αὐτοῦ τῷ ἀνδρὶ τῷ ὁσίῳ ὃν ἐπείρασαν αὐτὸν ἐν πείρᾳ ἐλοιδόρησαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας

9 han som sa om sin far og sin mor: Jeg ser dem ikke, og som ikke kjentes ved sine brødre og ikke visste av sine barn, fordi han tok vare på ditt ord og aktet vel på din pakt.
Who said of his father, Who is he? and of his mother, I have not seen her; he kept himself separate from his brothers and had no knowledge of his children: for they have given ear to your word and l your agreement.
ὁ λέγων τῷ πατρὶ καὶ τῇ μητρί οὐχ ἑόρακά σε καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἐπέγνω καὶ τοὺς υἱοὺς αὐτοῦ ἀπέγνω ἐφύλαξεν τὰ λόγιά σου καὶ τὴν διαθήκην σου διετήρησεν

10 Han skal lære Jakob dine bud og Israel din lov, han skal legge røkelse for ditt ansikt og heloffer på ditt alter.
They will be the teachers of your decisions to Jacob and of your law to Israel: the burning of perfumes before you will be their right, and the ordering of burned offerings on your altar.
δηλώσουσιν τὰ δικαιώματά σου τῷ ιακωβ καὶ τὸν νόμον σου τῷ ισραηλ ἐπιθήσουσιν θυμίαμα ἐν ὀργῇ σου διὰ παντὸς ἐπὶ τὸ θυσιαστήριόν σου

11 Velsign, Herre, hans kraft, og la hans henders gjerning tekkes dig! Knus lendene på hans motstandere og dem som hater ham, så de ikke reiser sig mere!
Let your blessing, O Lord, be on his substance, may the work of his hands be pleasing to you: may those who take up arms against him and all who have hate for him, be wounded through the heart, never to be lifted up again.
εὐλόγησον κύριε τὴν ἰσχὺν αὐτοῦ καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ δέξαι κάταξον ὀσφὺν ἐχθρῶν ἐπανεστηκότων αὐτῷ καὶ οἱ μισοῦντες αὐτὸν μὴ ἀναστήτωσαν

12 Om Benjamin sa han: Herrens elskede er han, trygt bor han hos ham; hele dagen holder han sin hånd over ham - han hviler mellem hans skuldrer.
And of Benjamin he said, Benjamin is the loved one of the Lord, he will be kept safe at all times; he will be covered by the Most High, resting between his arms.
καὶ τῷ βενιαμιν εἶπεν ἠγαπημένος ὑπὸ κυρίου κατασκηνώσει πεποιθώς καὶ ὁ θεὸς σκιάζει ἐπ' αὐτῷ πάσας τὰς ἡμέρας καὶ ἀνὰ μέσον τῶν ὤμων αὐτοῦ κατέπαυσεν

13 Og om Josef sa han: Velsignet av Herren være hans land med himmelens ypperste gaver, med dugg og med vann fra det store dyp der nede,
And of Joseph he said, Let the blessing of the Lord be on his land; for the good things of heaven on high, and the deep waters flowing under the earth,
καὶ τῷ ιωσηφ εἶπεν ἀπ' εὐλογίας κυρίου ἡ γῆ αὐτοῦ ἀπὸ ὡρῶν οὐρανοῦ καὶ δρόσου καὶ ἀπὸ ἀβύσσων πηγῶν κάτωθεν

14 med det ypperste av det som solen fostrer, med det ypperste av det som måneskiftene driver frem,
And the good things of the fruits of the sun, and the good things of the growth of the moons,
καὶ καθ' ὥραν γενημάτων ἡλίου τροπῶν καὶ ἀπὸ συνόδων μηνῶν

15 med det herligste fra de eldgamle fjell og det ypperste fra de evige hauger,
And the chief things of the oldest mountains, and the good things of the eternal hills,
καὶ ἀπὸ κορυφῆς ὀρέων ἀρχῆς καὶ ἀπὸ κορυφῆς βουνῶν ἀενάων

16 med det ypperste av jorden og dens fylde og med nåde fra ham som bodde i tornebusken; det komme over Josefs hode, over hans isse som er fyrste blandt sine brødre!
The good things of the earth and all its wealth, the good pleasure of him who was seen in the burning tree: may they come on the head of Joseph, on the head of him who was prince among his brothe
καὶ καθ' ὥραν γῆς πληρώσεως καὶ τὰ δεκτὰ τῷ ὀφθέντι ἐν τῷ βάτῳ ἔλθοισαν ἐπὶ κεφαλὴν ιωσηφ καὶ ἐπὶ κορυφῆς δοξασθεὶς ἐν ἀδελφοῖς

17 Herlig er den førstefødte av hans okser*, og hans horn er som villoksens horn; med dem stanger han alle folkene like til jordens ender; det er Efra'ims titusener, det er Manasses tusener. / <* d.e. stammens kraftigste krigere.>
He is a young ox, glory is his; his horns are the horns of the mountain ox, with which all peoples will be wounded, even to the ends of the earth: they are the ten thousands of Ephraim and the thousar of Manasseh.
πρωτότοκος ταύρου τὸ κάλλος αὐτοῦ κέρατα μονοκέρωτος τὰ κέρατα αὐτοῦ ἐν αὐτοῖς ἔθνη κερατιεῖ ἅμα ἕως ἐπ' ἄκρου γῆς αὗται μυριάδες εφραιμ καὶ αὗται χιλιάδες μανασση

18 Og om Sebulon sa han: Gled dig, Sebulon, i din utferd, og du, Issakar, i dine telt!
And of Zebulun he said, Be glad, Zebulun, in your going out; and, Issachar, in your tents.
καὶ τῷ ζαβουλων εἶπεν εὐφράνθητι ζαβουλων ἐν ἐξοδίᾳ σου καί ισσαχαρ ἐν τοῖς σκηνώμασιν αὐτοῦ

19 Folkeslag kaller de til sitt fjell; der ofrer de rettferdighets offere; for havets overflod og sandens skjulte skatter suger de inn.
They will send out the word for the people to come to the mountain, taking there the offerings of righteousness: for the store of the seas will be theirs, and the secret wealth of the sand.
ἔθνη ἐξολεθρεύσουσιν καὶ ἐπικαλέσεσθε ἐκεῖ καὶ θύσετε θυσίαν δικαιοσύνης ὅτι πλοῦτος θαλάσσης θηλάσει σε καὶ ἐμπόρια παράλιον κατοικούντων

20 Og om Gad sa han: Lovet være han som gir Gad vidt rum! Som en løvinne har han lagt sig ned, og han sønderriver både arm og isse.
Of Gad he said, A blessing be on him who makes wide the limits of Gad: he takes his rest like a she-lion, taking for himself the arm and the crown of the head.
καὶ τῷ γαδ εἶπεν εὐλογημένος ἐμπλατύνων γαδ ὡς λέων ἀνεπαύσατο συντρίψας βραχίονα καὶ ἄρχοντα

21 Han utså sig den første lodd, for der er den del gjemt som lovgiveren har tiltenkt ham; og så drog han frem foran folket; det som var rett for Herren, det som han hadde fastsatt, gjorde han, sammen med Israel.
He kept for himself the first part, for his was the ruler's right: he put in force the righteousness of the Lord, and his decisions for Israel.
καὶ εἶδεν ἀπαρχὴν αὐτοῦ ὅτι ἐκεῖ ἐμερίσθη γῆ ἀρχόντων συνηγμένων ἅμα ἀρχηγοῖς λαῶν δικαιοσύνην κύριος ἐποίησεν καὶ κρίσιν αὐτοῦ μετὰ ισραηλ

22 Og om Dan sa han: Dan er en løveunge som springer frem fra Basan.
And of Dan he said, Dan is a young lion, springing out from Bashan.
καὶ τῷ δαν εἶπεν δαν σκύμνος λέοντος καὶ ἐκπηδήσεται ἐκ τοῦ βασαν

23 Og om Naftali sa han: Naftali, mettet med nåde og fylt med Herrens velsignelse - Vesten og Syden ta han i eie!
And of Naphtali he said, O Naphtali, made glad with grace and full of the blessing of the Lord: the sea and its fishes will be his.
καὶ τῷ νεφθαλι εἶπεν νεφθαλι πλησμονὴ δεκτῶν καὶ ἐμπλησθήτω εὐλογίαν παρὰ κυρίου θάλασσαν καὶ λίβα κληρονομήσει

24 Og om Aser sa han: Velsignet fremfor sønner være Aser! han være den kjæreste blandt sine brødre og dyppe i olje sin fot!
And of Asher he said, Let Asher have the blessing of children; may he be pleasing to his brothers, and let his foot be wet with oil.
καὶ τῷ ασηρ εἶπεν εὐλογητὸς ἀπὸ τέκνων ασηρ καὶ ἔσται δεκτὸς τοῖς ἀδελφοῖς αὐτοῦ βάψει ἐν ἐλαίῳ τὸν πόδα αὐτοῦ

25 Av jern og kobber være din lås, og din hvile så lang som dine dager!
Your shoes will be iron and brass; and as your days, so may your work be.
σίδηρος καὶ χαλκὸς τὸ ὑπόδημα αὐτοῦ ἔσται καὶ ὡς αἱ ἡμέραι σου ἡ ἰσχύς σου

26 Det er ingen som Gud, Jesurun! - Han farer frem over himmelen med hjelp for dig, og i sin høihet på skyene.
No other is like the God of Jeshurun, coming on the heavens to your help, and letting his glory be seen in the skies.
οὐκ ἔστιν ὥσπερ ὁ θεὸς τοῦ ἠγαπημένου ὁ ἐπιβαίνων ἐπὶ τὸν οὐρανὸν βοηθός σου καὶ ὁ μεγαλοπρεπὴς τοῦ στερεώματος

27 En bolig er den eldgamle Gud, og her nede er evige armer; han driver fienden bort for dig og sier: Rydd ut!
The God of your fathers is your safe resting-place, and under you are his eternal arms: driving out the forces of your haters from before you, he said, Let destruction overtake them.
καὶ σκέπασις θεοῦ ἀρχῆς καὶ ὑπὸ ἰσχὺν βραχιόνων ἀενάων καὶ ἐκβαλεῖ ἀπὸ προσώπου σου ἐχθρὸν λέγων ἀπόλοιο

28 Og Israel bor trygt for sig selv, Jakobs øie er vendt mot et land med korn og most, ja, hans himmel drypper av dugg.
And Israel is living in peace, the fountain of Jacob by himself, in a land of grain and wine, with dew dropping from the heavens.
καὶ κατασκηνώσει ισραηλ πεποιθὼς μόνος ἐπὶ γῆς ιακωβ ἐπὶ σίτῳ καὶ οἴνῳ καὶ ὁ οὐρανὸς αὐτῷ συννεφὴς δρόσῳ

29 Salig er du, Israel! Hvem er som du, et folk som har sin frelse i Herren, ditt hjelpende skjold og ditt høie sverd! Dine fiender hykler for dig, mens du skrider frem over deres høider.
Happy are you, O Israel: who is like you, a people whose saviour is the Lord, whose help is your cover, whose sword is your strength! All those who are against you will put themselves under your ru
and your feet will be planted on their high places.
μακάριος σύ ισραηλ τίς ὅμοιός σοι λαὸς σῳζόμενος ὑπὸ κυρίου ὑπερασπιεῖ ὁ βοηθός σου καὶ ἡ μάχαιρα καύχημά σου καὶ ψεύσονταί σε οἱ ἐχθροί σου καὶ σὺ ἐπὶ τὸν τράχηλον αὐτῶν ἐπιβήσῃ

1 Så gikk Moses fra Moabs ødemarker op på Nebo-fjellet, på Pisgas topp, som ligger midt imot Jeriko; og Herren lot ham se ut over hele landet: Gilead like til Dan
And Moses went up from the table-lands of Moab to Mount Nebo, to the top of Pisgah which is facing Jericho. And the Lord let him see all the land, the land of Gilead as far as Dan;
καὶ ἀνέβη μωυσῆς ἀπὸ αραβωθ μωαβ ἐπὶ τὸ ὄρος ναβαυ ἐπὶ κορυφὴν φασγα ἥ ἐστιν ἐπὶ προσώπου ιεριχω καὶ ἔδειξεν αὐτῷ κύριος πᾶσαν τὴν γῆν γαλααδ ἕως δαν

2 og hele Naftalis og Efra'ims og Manasses land og hele Juda land like til havet i vest
And all Naphtali and the land of Ephraim and Manasseh, and all the land of Judah, as far as the Great Sea of the west;
καὶ πᾶσαν τὴν γῆν νεφθαλι καὶ πᾶσαν τὴν γῆν εφραιμ καὶ μανασση καὶ πᾶσαν τὴν γῆν ιουδα ἕως τῆς θαλάσσης τῆς ἐσχάτης

3 og sydlandet og Jordan-sletten, dalen ved Jeriko - Palmestaden - like til Soar.
And the South, and the circle of the valley of Jericho, the town of palm-trees, as far as Zoar.
καὶ τὴν ἔρημον καὶ τὰ περίχωρα ιεριχω πόλιν φοινίκων ἕως σηγωρ

4 Og Herren sa til ham: Dette er det land jeg har tilsvoret Abraham, Isak og Jakob idet jeg sa: Din ætt vil jeg gi det. Nu har jeg latt dig skue det med dine øine, men du skal ikke få komme inn i det.
And the Lord said to him, This is the land about which I made an oath to Abraham, Isaac, and Jacob, saying, I will give it to your seed: now I have let you see it with your eyes, but you will not go in
καὶ εἶπεν κύριος πρὸς μωυσῆν αὕτη ἡ γῆ ἣν ὤμοσα αβρααμ καὶ ισαακ καὶ ιακωβ λέγων τῷ σπέρματι ὑμῶν δώσω αὐτήν καὶ ἔδειξα αὐτὴν τοῖς ὀφθαλμοῖς σου καὶ ἐκεῖ οὐκ εἰσελεύσῃ

5 Så døde Moses, Herrens tjener, der i Moabs land efter Herrens ord.
So death came to Moses, the servant of the Lord, there in the land of Moab, as the Lord had said.
καὶ ἐτελεύτησεν μωυσῆς οἰκέτης κυρίου ἐν γῇ μωαβ διὰ ῥήματος κυρίου

6 Og han begravde ham i dalen i Moabs land midt imot Bet-Peor, og ingen kjenner til denne dag hans grav.
And the Lord put him to rest in the valley in the land of Moab opposite Beth-peor: but no man has knowledge of his resting-place to this day.
καὶ ἔθαψαν αὐτὸν ἐν γαι ἐν γῇ μωαβ ἐγγὺς οἴκου φογωρ καὶ οὐκ οἶδεν οὐδεὶς τὴν ταφὴν αὐτοῦ ἕως τῆς ἡμέρας ταύτης

7 Moses var hundre og tyve år gammel da han døde; hans øie var ikke sløvet, og hans kraft var ikke veket bort.
And Moses at his death was a hundred and twenty years old: his eye had not become clouded, or his natural force become feeble.
μωυσῆς δὲ ἦν ἑκατὸν καὶ εἴκοσι ἐτῶν ἐν τῷ τελευτᾶν αὐτόν οὐκ ἠμαυρώθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ οὐδὲ ἐφθάρησαν τὰ χελύνια αὐτοῦ

8 Og Israels barn gråt over Moses på Moabs ødemarker i tretti dager; da var gråtens dager til ende, sorgen over Moses.
For thirty days the children of Israel were weeping for Moses in the table-lands of Moab, till the days of weeping and sorrow for Moses were ended.
καὶ ἔκλαυσαν οἱ υἱοὶ ισραηλ τὸν μωυσῆν ἐν αραβωθ μωαβ ἐπὶ τοῦ ιορδάνου κατὰ ιεριχω τριάκοντα ἡμέρας καὶ συνετελέσθησαν αἱ ἡμέραι πένθους κλαυθμοῦ μωυσῆ

9 Og Josva, Nuns sønn, var fylt med visdoms ånd, for Moses hadde lagt sine hender på ham; og Israels barn var lydige mot ham og gjorde som Herren hadde befalt Moses.
And Joshua, the son of Nun, was full of the spirit of wisdom; for Moses had put his hands on him: and the children of Israel gave ear to him, and did as the Lord had given orders to Moses.
καὶ ἰησοῦς υἱὸς ναυη ἐνεπλήσθη πνεύματος συνέσεως ἐπέθηκεν γὰρ μωυσῆς τὰς χεῖρας αὐτοῦ ἐπ' αὐτόν καὶ εἰσήκουσαν αὐτοῦ οἱ υἱοὶ ισραηλ καὶ ἐποίησαν καθότι ἐνετείλατο κύριος τῷ μωυσῇ

10 Men det stod ikke mere frem nogen profet i Israel som Moses, han som Herren kjente åsyn til åsyn -
There has never been another prophet in Israel like Moses, whom the Lord had knowledge of face to face;
καὶ οὐκ ἀνέστη ἔτι προφήτης ἐν ισραηλ ὡς μωυσῆς ὃν ἔγνω κύριος αὐτὸν πρόσωπον κατὰ πρόσωπον

11 når en kommer i hu alle de tegn og under Herren hadde sendt ham til å gjøre i Egyptens land, med Farao og alle hans tjenere og hele hans land,
In all the signs and wonders which the Lord sent him to do in the land of Egypt, to Pharaoh and to all his servants and all his land;
ἐν πᾶσι τοῖς σημείοις καὶ τέρασιν ὃν ἀπέστειλεν αὐτὸν κύριος ποιῆσαι αὐτὰ ἐν γῇ αἰγύπτῳ φαραω καὶ τοῖς θεράπουσιν αὐτοῦ καὶ πάσῃ τῇ γῇ αὐτοῦ

12 og hele den veldige kraft og alle de store, forferdelige gjerninger som Moses gjorde for hele Israels øine.
And in all the acts of power and fear which Moses did before the eyes of all Israel.
τὰ θαυμάσια τὰ μεγάλα καὶ τὴν χεῖρα τὴν κραταιάν ἃ ἐποίησεν μωυσῆς ἔναντι παντὸς ισραηλ .

1 Efter Moses', Herrens tjeners død sa Herren til Josva, Nuns sønn, Moses' tjener:
Now after the death of Moses, the servant of the Lord, the word of the Lord came to Joshua, the son of Nun, Moses' helper, saying,
καὶ ἐγένετο μετὰ τὴν τελευτὴν μωυσῆ εἶπεν κύριος τῷ ἰησοῖ υἱῷ ναυη τῷ ὑπουργῷ μωυσῆ λέγων

2 Moses, min tjener, er død; så gjør dig nu rede og dra over Jordan her med hele dette folk til det land som jeg vil gi Israels barn!
Moses my servant is dead; so now get up! Go over Jordan, you and all this people, into the land which I am giving to them, to the children of Israel.
μωυσῆς ὁ θεράπων μου τετελεύτηκεν νῦν οὖν ἀναστὰς διάβηθι τὸν ιορδάνην σὺ καὶ πᾶς ὁ λαὸς οὗτος εἰς τὴν γῆν ἣν ἐγὼ δίδωμι αὐτοῖς

3 Hvert sted I setter eders fot på, gir jeg eder, som jeg sa til Moses:
Every place on which you put your foot I have given to you, as I said to Moses.
πᾶς ὁ τόπος ἐφ' ὃν ἂν ἐπιβῆτε τῷ ἴχνει τῶν ποδῶν ὑμῶν ὑμῖν δώσω αὐτόν ὃν τρόπον εἴρηκα τῷ μωυσῇ

4 Fra ørkenen og Libanon der nord like til den store elv, elven Frat - over hele hetittenes land og helt til det store hav i vest skal eders land nå.
From the waste land and this mountain Lebanon, as far as the great river, the river Euphrates, and all the land of the Hittites to the Great Sea, in the west, will be your country.
τὴν ἔρημον καὶ τὸν ἀντιλίβανον ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου ποταμοῦ εὐφράτου καὶ ἕως τῆς θαλάσσης τῆς ἐσχάτης ἀφ' ἡλίου δυσμῶν ἔσται τὰ ὅρια ὑμῶν

5 Ingen skal kunne stå sig mot dig alle ditt livs dager; likesom jeg var med Moses, vil jeg være med dig; jeg vil ikke slippe dig og ikke forlate dig.
While you are living, all will give way before you: as I was with Moses, so I will be with you; I will not take away my help from you or give you up.
οὐκ ἀντιστήσεται ἄνθρωπος κατενώπιον ὑμῶν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου καὶ ὥσπερ ἤμην μετὰ μωυσῆ οὕτως ἔσομαι καὶ μετὰ σοῦ καὶ οὐκ ἐγκαταλείψω σε οὐδὲ ὑπερόψομαί σε

6 Vær frimodig og sterk! For du skal skifte ut til arv blandt dette folk det land som jeg tilsvor deres fedre å ville gi dem.
Take heart and be strong; for you will give to this people for their heritage the land which I gave by an oath to their fathers.
ἴσχυε καὶ ἀνδρίζου σὺ γὰρ ἀποδιαστελεῖς τῷ λαῷ τούτῳ τὴν γῆν ἣν ὤμοσα τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς

7 Vær du bare riktig frimodig og sterk, så du akter vel på å gjøre efter hele den lov som Moses, min tjener, lærte dig! Vik ikke av fra den, hverken til høire eller til venstre, så du kan gå viselig frem i al det du tar dig fore!

Only take heart and be very strong; take care to do all the law which Moses my servant gave you, not turning from it to the right hand or to the left, so that you may do well in all your undertakings.

ἴσχυε οὖν καὶ ἀνδρίζου φυλάσσεσθαι καὶ ποιεῖν καθότι ἐνετείλατό σοι μωυσῆς ὁ παῖς μου καὶ οὐκ ἐκκλινεῖς ἀπ' αὐτῶν εἰς δεξιὰ οὐδὲ εἰς ἀριστερά ἵνα συνῇς ἐν πᾶσιν οἷς ἐὰν πράσσῃς

8 Denne lovens bok skal ikke vike fra din munn, men du skal grunde på den dag og natt, så du akter vel på å gjøre efter alt det som står skrevet i den; da skal du ha lykke på dine veier, og da skal du gå viselig frem.

Let this book of the law be ever on your lips and in your thoughts day and night, so that you may keep with care everything in it; then a blessing will be on all your way, and you will do well.

καὶ οὐκ ἀποστήσεται ἡ βίβλος τοῦ νόμου τούτου ἐκ τοῦ στόματός σου καὶ μελετήσεις ἐν αὐτῷ ἡμέρας καὶ νυκτός ἵνα συνῇς ποιεῖν πάντα τὰ γεγραμμένα τότε εὐοδωθήσῃ καὶ εὐοδώσεις τὰς ὁδούς σου καὶ τότε συνήσεις

9 Har jeg ikke befalt dig: Vær frimodig og sterk, frykt ikke og reddes ikke? For Herren din Gud er med dig i alt det du tar dig fore.

Have I not given you your orders? Take heart and be strong; have no fear and do not be troubled; for the Lord your God is with you wherever you go,

ἰδοὺ ἐντέταλμαί σοι ἴσχυε καὶ ἀνδρίζου μὴ δειλιάσῃς μηδὲ φοβηθῇς ὅτι μετὰ σοῦ κύριος ὁ θεός σου εἰς πάντα οὗ ἐὰν πορεύῃ

10 Da bød Josva folkets tilsynsmenn og sa:

Then Joshua gave their orders to those who were in authority over the people, saying,

καὶ ἐνετείλατο ἰησοῦς τοῖς γραμματεῦσιν τοῦ λαοῦ λέγων

11 Gå midt igjennem leiren og byd folket og si: Lag i stand reisekost for eder! For om tre dager skal I gå over Jordan her, så I kan komme og innta det land som Herren eders Gud gir eder til eie.

Go through the tents and give orders to the people, saying, Get ready a store of food; for in three days you are to go over this river Jordan and take for your heritage the land which the Lord your G is giving you.

εἰσέλθατε κατὰ μέσον τῆς παρεμβολῆς τοῦ λαοῦ καὶ ἐντείλασθε τῷ λαῷ λέγοντες ἑτοιμάζεσθε ἐπισιτισμόν ὅτι ἔτι τρεῖς ἡμέραι καὶ ὑμεῖς διαβαίνετε τὸν ιορδάνην τοῦτον εἰσελθόντες κατασχεῖν τὴν γῆ ν ἣν κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν δίδωσιν ὑμῖν

12 Og til rubenittene og gadittene og den halve Manasse stamme sa Josva:

And to the Reubenites and the Gadites and the half-tribe of Manasseh, Joshua said,

καὶ τῷ ρουβην καὶ τῷ γαδ καὶ τῷ ἡμίσει φυλῆς μανασση εἶπεν ἰησοῦς

13 Kom i hu det som Moses, Herrens tjener, bød eder da han sa: Herren eders Gud lar eder nu komme til ro og gir eder dette land.

Keep in mind what Moses, the servant of the Lord, said to you, The Lord your God is sending you rest and will give you this land.

μνήσθητε τὸ ῥῆμα κυρίου ὃ ἐνετείλατο ὑμῖν μωυσῆς ὁ παῖς κυρίου λέγων κύριος ὁ θεὸς ὑμῶν κατέπαυσεν ὑμᾶς καὶ ἔδωκεν ὑμῖν τὴν γῆν ταύτην

14 Eders hustruer, eders barn og eders fe skal bli i det land Moses har gitt eder østenfor Jordan; men selv skal I, så mange av eder som er djerve stridsmenn, dra fullt rustet frem foran eders brødre og hjelpe dem,

Your wives, your little ones, and your cattle will be kept here in the land which Moses gave you on this side of Jordan; but you, the fighting-men, are to go over before your brothers, armed, to give th help;

αἱ γυναῖκες ὑμῶν καὶ τὰ παιδία ὑμῶν καὶ τὰ κτήνη ὑμῶν κατοικείτωσαν ἐν τῇ γῇ ᾗ ἔδωκεν ὑμῖν ὑμεῖς δὲ διαβήσεσθε εὔζωνοι πρότεροι τῶν ἀδελφῶν ὑμῶν πᾶς ὁ ἰσχύων καὶ συμμαχήσετε αὐτοῖς

15 inntil Herren lar eders brødre komme til ro likesom eder, og også de har tatt det land i eie som Herren eders Gud gir dem; da skal I vende tilbake og bosette eder i eders eget land, det som Moses, Herrens tjener, gav eder på østsiden av Jordan.

Till the Lord has given your brothers rest, as he has given it to you, and they have taken their heritage in the land which the Lord your God is giving them: then you will go back to the land of your heritage which Moses, the servant of the Lord, gave you on the east side of Jordan.

ἕως ἂν καταπαύσῃ κύριος ὁ θεὸς ὑμῶν τοὺς ἀδελφοὺς ὑμῶν ὥσπερ καὶ ὑμᾶς καὶ κληρονομήσωσιν καὶ οὗτοι τὴν γῆν ἣν κύριος ὁ θεὸς ἡμῶν δίδωσιν αὐτοῖς καὶ ἀπελεύσεσθε ἕκαστος εἰς τὴν κληρονομ αν αὐτοῦ ἣν δέδωκεν ὑμῖν μωυσῆς εἰς τὸ πέραν τοῦ ιορδάνου ἀπ' ἀνατολῶν ἡλίου

16 Da svarte de Josva og sa: Alt det du har befalt oss, vil vi gjøre, og hvor du sender oss, vil vi gå.

Then they said to Joshua in answer, Whatever you say to us we will do, and wherever you send us we will go.

καὶ ἀποκριθέντες τῷ ἰησοῦ εἶπαν πάντα ὅσα ἂν ἐντείλῃ ἡμῖν ποιήσομεν καὶ εἰς πάντα τόπον οὗ ἐὰν ἀποστείλῃς ἡμᾶς πορευσόμεθα

17 Aldeles som vi lød Moses, vil vi lyde dig, bare Herren din Gud må være med dig, likesom han var med Moses.

As we gave attention to Moses in all things, so we will give attention to you: and may the Lord your God be with you as he was with Moses.

κατὰ πάντα ὅσα ἠκούσαμεν μωυσῆ ἀκουσόμεθα σοῦ πλὴν ἔστω κύριος ὁ θεὸς ἡμῶν μετὰ σοῦ ὃν τρόπον ἦν μετὰ μωυσῆ

18 Enhver som er gjenstridig mot din befaling og ikke lyder dine ord i alt det du byder ham, han skal dø. Vær bare frimodig og sterk!
Whoever goes against your orders, and does not give attention to all your words, will be put to death: only take heart and be strong.
ὁ δὲ ἄνθρωπος ὃς ἐὰν ἀπειθήσῃ σοι καὶ ὅστις μὴ ἀκούσῃ τῶν ῥημάτων σου καθότι ἂν αὐτῷ ἐντείλῃ ἀποθανέτω ἀλλὰ ἴσχυε καὶ ἀνδρίζου

1 Josva, Nuns sønn, sendte hemmelig to speidere fra Sittim og sa: Gå avsted og se eder om i landet og særlig i Jeriko! De gikk avsted og kom inn i huset til en skjøge som hette Rahab, og de lå der om natten.
Then Joshua, the son of Nun, sent two men from Shittim secretly, with the purpose of searching out the land, and Jericho. So they went and came to the house of a loose woman of the town, named Rahab, where they took their rest for the night.
καὶ ἀπέστειλεν ἰησοῦς υἱὸς ναυη ἐκ σαττιν δύο νεανίσκους κατασκοπεῦσαι λέγων ἀνάβητε καὶ ἴδετε τὴν γῆν καὶ τὴν ιεριχω καὶ πορευθέντες εἰσήλθοσαν οἱ δύο νεανίσκοι εἰς ιεριχω καὶ εἰσήλθοσαν εἰς οἰκίαν γυναικὸς πόρνης ᾗ ὄνομα ρααβ καὶ κατέλυσαν ἐκεῖ

2 Da blev det meldt til kongen i Jeriko: Nogen menn av Israels barn er kommet hit i natt for å utspeide landet.
And it was said to the king of Jericho, See, some men have come here tonight from the children of Israel with the purpose of searching out the land.
καὶ ἀπηγγέλη τῷ βασιλεῖ ιεριχω λέγοντες εἰσπεπόρευνται ὧδε ἄνδρες τῶν υἱῶν ισραηλ κατασκοπεῦσαι τὴν γῆν

3 Så sendte kongen i Jeriko bud til Rahab og lot si: Kom hit med de menn som kom til dig og tok inn i ditt hus! De er kommet for å utspeide hele landet.
Then the king of Jericho sent to Rahab, saying, Send out the men who have come to you and are in your house; for they have come with the purpose of searching out all the land.
καὶ ἀπέστειλεν ὁ βασιλεὺς ιεριχω καὶ εἶπεν πρὸς ρααβ λέγων ἐξάγαγε τοὺς ἄνδρας τοὺς εἰσπεπορευμένους εἰς τὴν οἰκίαν σου τὴν νύκτα κατασκοπεῦσαι γὰρ τὴν γῆν ἥκασιν

4 Men kvinnen tok og skjulte de to menn, og så sa hun: Det er så at disse menn kom til mig, men jeg visste ikke hvor de var fra;
And the woman took the two men and put them in a secret place; then she said, Yes, the men came to me, but I had no idea where they came from;
καὶ λαβοῦσα ἡ γυνὴ τοὺς ἄνδρας ἔκρυψεν αὐτοὺς καὶ εἶπεν αὐτοῖς λέγουσα εἰσεληλύθασιν πρός με οἱ ἄνδρες

5 og i mørkningen da porten skulde lukkes, gikk mennene ut; jeg vet ikke hvor de tok veien. Skynd eder og sett efter dem, så når I dem nok igjen.
And when it was the time for shutting the doors at dark, they went out; I have no idea where the men went: but if you go after them quickly, you will overtake them.
ὡς δὲ ἡ πύλη ἐκλείετο ἐν τῷ σκότει καὶ οἱ ἄνδρες ἐξῆλθον οὐκ ἐπίσταμαι ποῦ πεπόρευνται καταδιώξατε ὀπίσω αὐτῶν εἰ καταλήμψεσθε αὐτούς

6 Men hun hadde latt dem stige op på taket og skjult dem under linstenglene som hun hadde liggende utbredt der på taket.
But she had taken them up to the roof, covering them with the stems of flax which she had put out in order there.
αὐτὴ δὲ ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὸ δῶμα καὶ ἔκρυψεν αὐτοὺς ἐν τῇ λινοκαλάμῃ τῇ ἐστοιβασμένῃ αὐτῇ ἐπὶ τοῦ δώματος

7 Så satte mennene efter dem på veien til Jordan, til vadestedene; og porten blev lukket, så snart de som satte efter dem, var gått ut.
So the men went after them on the road to Jordan as far as the river-crossing: and when they had gone out after them, the door into the town was shut.
καὶ οἱ ἄνδρες κατεδίωξαν ὀπίσω αὐτῶν ὁδὸν τὴν ἐπὶ τοῦ ιορδάνου ἐπὶ τὰς διαβάσεις καὶ ἡ πύλη ἐκλείσθη καὶ ἐγένετο ὡς ἐξῆλθοσαν οἱ διώκοντες ὀπίσω αὐτῶν

8 Før speiderne hadde lagt sig, gikk hun op til dem på taket,
And before the men went to rest, she came up to them on the roof,
καὶ αὐτοὶ δὲ πρὶν ἢ κοιμηθῆναι αὐτούς καὶ αὐτὴ ἀνέβη ἐπὶ τὸ δῶμα πρὸς αὐτοὺς

9 og hun sa til dem: Jeg vet at Herren har gitt eder landet, og at redsel for eder er falt på oss, og at alle landets innbyggere forgår av angst for eder.
And said to them, It is clear to me that the Lord has given you the land, and that the fear of you has come on us;
καὶ εἶπεν πρὸς αὐτούς ἐπίσταμαι ὅτι δέδωκεν ὑμῖν κύριος τὴν γῆν ἐπιπέπτωκεν γὰρ ὁ φόβος ὑμῶν ἐφ' ἡμᾶς

10 For vi har hørt at Herren tørket ut vannet i det Røde Hav foran eder da I drog ut av Egypten, og vi har hørt hvad I gjorde med begge amoritter-kongene på hin side Jordan, Sihon og Og, som I slo m bann.
For we have had news of how the Lord made the Red Sea dry before you when you came out of Egypt; and what you did to the two kings of the Amorites, on the other side of Jordan, to Sihon and Og whom you gave up to the curse.
ἀκηκόαμεν γὰρ ὅτι κατεξήρανεν κύριος ὁ θεὸς τὴν ἐρυθρὰν θάλασσαν ἀπὸ προσώπου ὑμῶν ὅτε ἐξεπορεύεσθε ἐκ γῆς αἰγύπτου καὶ ὅσα ἐποίησεν τοῖς δυσὶ βασιλεῦσιν τῶν αμορραίων οἳ ἦσαν πέραν τοῦ ιορδάνου τῷ σηων καὶ ωγ οὓς ἐξωλεθρεύσατε αὐτούς

11 Da vi hørte det, blev vårt hjerte fullt av angst, og nu er det ikke mere nogen som har mot til å møte eder; for Herren eders Gud han er Gud både i himmelen der oppe og på jorden her nede.
And because of this news, our hearts became like water, and there was no more spirit in any of us because of you; for the Lord your God is God in heaven on high and here on earth.
καὶ ἀκούσαντες ἡμεῖς ἐξέστημεν τῇ καρδίᾳ ἡμῶν καὶ οὐκ ἔστη ἔτι πνεῦμα ἐν οὐδενὶ ἡμῶν ἀπὸ προσώπου ὑμῶν ὅτι κύριος ὁ θεὸς ὑμῶν θεὸς ἐν οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω

12 Så sverg mig nu til ved Herren, siden jeg har vist barmhjertighet mot eder, at også I vil vise barmhjertighet mot min fars hus, og gi mig således et tegn på eders ærlighet,
So now, will you give me your oath by the Lord, that, because I have been kind to you, you will be kind to my father's house,
καὶ νῦν ὀμόσατέ μοι κύριον τὸν θεόν ὅτι ποιῶ ὑμῖν ἔλεος καὶ ποιήσετε καὶ ὑμεῖς ἔλεος ἐν τῷ οἴκῳ τοῦ πατρός μου

13 og la min far og min mor og mine brødre og mine søstre og alle som hører dem til, leve, og frels vårt liv fra døden!
And that you will keep safe my father and mother and my brothers and sisters and all they have, so that death may not come on us?
καὶ ζωγρήσετε τὸν οἶκον τοῦ πατρός μου καὶ τὴν μητέρα μου καὶ τοὺς ἀδελφούς μου καὶ πάντα τὸν οἰκόν μου καὶ πάντα ὅσα ἐστὶν αὐτοῖς καὶ ἐξελεῖσθε τὴν ψυχήν μου ἐκ θανάτου

14 Da sa mennene til henne: Med vårt eget liv skal vi svare for eders liv! Så sant I ikke lar nogen få vite noget om vårt ærend, skal vi, når Herren gir oss landet, vise barmhjertighet og trofasthet mot dig
And the men said to her, Our life for yours if you keep our business secret; and when the Lord has given us the land, we will keep faith and be kind to you.
καὶ εἶπαν αὐτῇ οἱ ἄνδρες ἡ ψυχὴ ἡμῶν ἀνθ' ὑμῶν εἰς θάνατον καὶ αὐτὴ εἶπεν ὡς ἂν παραδῷ κύριος ὑμῖν τὴν πόλιν ποιήσετε εἰς ἐμὲ ἔλεος καὶ ἀλήθειαν

15 Så firte hun dem ned gjennem vinduet med et rep; for hennes hus lå ved byens mur, så hun bodde like ved muren.
Then she let them down from the window by a cord, for the house where she was living was on the town wall.
καὶ κατεχάλασεν αὐτοὺς διὰ τῆς θυρίδος

16 Og hun sa til dem: Gå op i fjellene, så at de som forfølger eder, ikke treffer på eder, og hold eder skjult der i tre dager, til forfølgerne kommer tilbake; siden kan I gå hvor I vil.
And she said to them, Get away into the hill-country, or the men who have gone after you will overtake you; keep yourselves safe there for three days, till the searchers have come back, and then go o your way.
καὶ εἶπεν αὐτοῖς εἰς τὴν ὀρεινὴν ἀπέλθετε μὴ συναντήσωσιν ὑμῖν οἱ καταδιώκοντες καὶ κρυβήσεσθε ἐκεῖ τρεῖς ἡμέρας ἕως ἂν ἀποστρέψωσιν οἱ καταδιώκοντες ὀπίσω ὑμῶν καὶ μετὰ ταῦτα ἀπελεύσεσ θε εἰς τὴν ὁδὸν ὑμῶν

17 Mennene svarte: Vi holder oss for å være løst fra denne ed som du tok av oss,
And the men said to her, We will only be responsible for this oath which you have made us take,
καὶ εἶπαν οἱ ἄνδρες πρὸς αὐτήν ἀθῷοί ἐσμεν τῷ ὅρκῳ σου τούτῳ

18 hvis du ikke, når vi kommer inn i landet, binder denne snor av skarlagenfarvet tråd i det vindu som du har firet oss ned igjennem, og så samler din far og din mor og dine brødre og hele din slekt i hu hos dig.
If, when we come into the land, you put this cord of bright red thread in the window from which you let us down; and get your father and mother and your brothers and all your family into the house
ἰδοὺ ἡμεῖς εἰσπορευόμεθα εἰς μέρος τῆς πόλεως καὶ θήσεις τὸ σημεῖον τὸ σπαρτίον τὸ κόκκινον τοῦτο ἐκδήσεις εἰς τὴν θυρίδα δι' ἧς κατεβίβασας ἡμᾶς δι' αὐτῆς τὸν δὲ πατέρα σου καὶ τὴν μητέρα σο υ καὶ τοὺς ἀδελφούς σου καὶ πάντα τὸν οἶκον τοῦ πατρός σου συνάξεις πρὸς σεαυτὴν εἰς τὴν οἰκίαν σου

19 Enhver som går ut av din husdør, hans blod komme over hans eget hode, og vi er skyldfri; men enhver som er hos dig i huset, hans blod komme over vårt hode, dersom der blir lagt hånd på ham.
Then if anyone goes out of your house into the street, his blood will be on his head, we will not be responsible; but if any damage comes to anyone in the house, his blood will be on our heads.
καὶ ἔσται πᾶς ὃς ἂν ἐξέλθῃ τὴν θύραν τῆς οἰκίας σου ἔξω ἔνοχος ἑαυτῷ ἔσται ἡμεῖς δὲ ἀθῷοι τῷ ὅρκῳ σου τούτῳ καὶ ὅσοι ἐὰν γένωνται μετὰ σοῦ ἐν τῇ οἰκίᾳ σου ἡμεῖς ἔνοχοι ἐσόμεθα

20 Og dersom du lar nogen få vite noget om vårt ærend, så er vi løst fra den ed du tok av oss.
But if you say anything about our business here, then we will be free from the oath you have made us take.
ἐὰν δέ τις ἡμᾶς ἀδικήσῃ ἢ καὶ ἀποκαλύψῃ τοὺς λόγους ἡμῶν τούτους ἐσόμεθα ἀθῷοι τῷ ὅρκῳ σου τούτῳ

21 Hun sa: La det være som I sier! Så lot hun dem gå, og de drog avsted; siden bandt hun den skarlagenfarvede snor i vinduet.
And she said, Let it be as you say. Then she sent them away, and they went; and she put the bright red cord in the window.
καὶ εἶπεν αὐτοῖς κατὰ τὸ ῥῆμα ὑμῶν οὕτως ἔστω καὶ ἐξαπέστειλεν αὐτούς

22 De gikk til de kom op i fjellene; der blev de i tre dager, inntil de som forfulgte dem, var vendt tilbake; og forfølgerne lette på hele veien, men fant dem ikke.
And they went into the hill-country and were there three days, till the men who had gone after them had come back; and those who went after them were searching for them everywhere without comi across them.
καὶ ἐπορεύθησαν καὶ ἦλθοσαν εἰς τὴν ὀρεινὴν καὶ κατέμειναν ἐκεῖ τρεῖς ἡμέρας καὶ ἐξεζήτησαν οἱ καταδιώκοντες πάσας τὰς ὁδοὺς καὶ οὐχ εὗροσαν

23 Så vendte de to menn om og gikk ned fra fjellene og satte over elven og kom til Josva, Nuns sønn, og fortalte ham alt det som hadde hendt dem.
Then the two men came down from the hill-country and went over and came back to Joshua, the son of Nun; and they gave him a complete account of what had taken place.
καὶ ὑπέστρεψαν οἱ δύο νεανίσκοι καὶ κατέβησαν ἐκ τοῦ ὄρους καὶ διέβησαν πρὸς ἰησοῦν υἱὸν ναυη καὶ διηγήσαντο αὐτῷ πάντα τὰ συμβεβηκότα αὐτοῖς

24 Og de sa til Josva: Herren har gitt hele landet i vår hånd; alle landets innbyggere holder endog på å forgå av angst for oss.
And they said to Joshua, Truly, the Lord has given all the land into our hands; and all the people of the land have become like water because of us.
καὶ εἶπαν πρὸς ἰησοῦν ὅτι παρέδωκεν κύριος πᾶσαν τὴν γῆν ἐν χειρὶ ἡμῶν καὶ κατέπτηκεν πᾶς ὁ κατοικῶν τὴν γῆν ἐκείνην ἀφ' ἡμῶν

1 Morgenen efter stod Josva tidlig op og tok ut fra Sittim med alle Israels barn og kom til Jordan; der blev de en tid før de gikk over.
Then Joshua got up early in the morning, and, moving on from Shittim, he and all the children of Israel came to Jordan and were there for the night before going over.
καὶ ὤρθρισεν ἰησοῦς τὸ πρωί καὶ ἀπῆραν ἐκ σαττιν καὶ ἦλθοσαν ἕως τοῦ ιορδάνου καὶ κατέλυσαν ἐκεῖ πρὸ τοῦ διαβῆναι

2 Og da tre dager var til ende, gikk tilsynsmennene gjennem leiren,
And at the end of three days, the men in authority over the people went through the tents,
καὶ ἐγένετο μετὰ τρεῖς ἡμέρας διῆλθον οἱ γραμματεῖς διὰ τῆς παρεμβολῆς

3 og de bød folket og sa: Når I ser Herrens, eders Guds pakts-ark og de levittiske prester i ferd med å bære den, så skal I bryte op fra eders sted og følge efter den
Giving the people their orders, and saying, When you see the ark of the agreement of the Lord your God lifted up by the priests, the Levites, then get up from your places and go after it;
καὶ ἐνετείλαντο τῷ λαῷ λέγοντες ὅταν ἴδητε τὴν κιβωτὸν τῆς διαθήκης κυρίου τοῦ θεοῦ ἡμῶν καὶ τοὺς ἱερεῖς ἡμῶν καὶ τοὺς λευίτας αἴροντας αὐτήν ἀπαρεῖτε ἀπὸ τῶν τόπων ὑμῶν καὶ πορεύεσθε ὀπίσω αὐτῆς

4 - dog skal det være en avstand mellem eder og den, omkring to tusen alen; I må ikke komme den for nær - så I kan vite hvad vei I skal gå; for I har ikke draget den vei før.
But let there be a space between you and it of about two thousand cubits: come no nearer to it, so that you may see the way you have to go, for you have not been over this way before.
ἀλλὰ μακρὰν ἔστω ἀνὰ μέσον ὑμῶν καὶ ἐκείνης ὅσον δισχιλίους πήχεις στήσεσθε μὴ προσεγγίσητε αὐτῇ ἵν' ἐπίστησθε τὴν ὁδόν ἣν πορεύεσθε αὐτήν οὐ γὰρ πεπόρευσθε τὴν ὁδὸν ἀπ' ἐχθὲς καὶ τρίτης ἡμέρας

5 Da sa Josva til folket: Hellige eder! For imorgen vil Herren gjøre underfulle ting iblandt eder.
And Joshua said to the people, Make yourselves holy, for tomorrow the Lord will do works of wonder among you.
καὶ εἶπεν ἰησοῦς τῷ λαῷ ἁγνίσασθε εἰς αὔριον ὅτι αὔριον ποιήσει ἐν ὑμῖν κύριος θαυμαστά

6 Og til prestene sa Josva: Ta paktens ark og gå frem foran folket! Og de tok paktens ark og gikk frem foran folket.
Then Joshua said to the priests, Take up the ark of the agreement and go over in front of the people. So they took up the ark of the agreement and went in front of the people.
καὶ εἶπεν ἰησοῦς τοῖς ἱερεῦσιν ἄρατε τὴν κιβωτὸν τῆς διαθήκης κυρίου καὶ προπορεύεσθε τοῦ λαοῦ καὶ ἦραν οἱ ἱερεῖς τὴν κιβωτὸν τῆς διαθήκης κυρίου καὶ ἐπορεύοντο ἔμπροσθεν τοῦ λαοῦ

7 Og Herren sa til Josva: På denne dag vil jeg begynne å gjøre dig stor for hele Israels øine, forat de skal vite at likesom jeg var med Moses, vil jeg og være med dig.
And the Lord said to Joshua, From now on I will give you glory in the eyes of all Israel, so that they may see that, as I was with Moses, so I will be with you.
καὶ εἶπεν κύριος πρὸς ἰησοῦν ἐν τῇ ἡμέρᾳ ταύτῃ ἄρχομαι ὑψῶσαί σε κατενώπιον πάντων υἱῶν ισραηλ ἵνα γνῶσιν καθότι ἤμην μετὰ μωυσῆ οὕτως ἔσομαι καὶ μετὰ σοῦ

8 Og du skal byde prestene som bærer paktens ark, og si: Når I kommer til randen av Jordans vann, så skal I bli stående der ved Jordan.
And you are to give orders to the priests who take up the ark of the agreement, and say, When you come to the edge of the waters of Jordan, go no further.
καὶ νῦν ἔντειλαι τοῖς ἱερεῦσιν τοῖς αἴρουσιν τὴν κιβωτὸν τῆς διαθήκης λέγων ὡς ἂν εἰσέλθητε ἐπὶ μέρους τοῦ ὕδατος τοῦ ιορδάνου καὶ ἐν τῷ ιορδάνῃ στήσεσθε

9 Og Josva sa til Israels barn: Kom hit og hør Herrens, eders Guds ord!
And Joshua said to the children of Israel, Come to me here: and give ear to the words of the Lord your God.
καὶ εἶπεν ἰησοῦς τοῖς υἱοῖς ισραηλ προσαγάγετε ὧδε καὶ ἀκούσατε τὸ ῥῆμα κυρίου τοῦ θεοῦ ἡμῶν

10 Og Josva sa: På dette skal I kjenne at den levende Gud er midt iblandt eder og visselig skal drive bort for eder kana'anittene og hetittene og hevittene og ferisittene og girgasittene og amorittene og jebusittene.
And Joshua said, By this you will see that the living God is among you, and that he will certainly send out from before you the Canaanite and the Hittite and the Hivite and the Perizzite and the Girgashite and the Amorite and the Jebusite.
ἐν τούτῳ γνώσεσθε ὅτι θεὸς ζῶν ἐν ὑμῖν καὶ ὀλεθρεύων ὀλεθρεύσει ἀπὸ προσώπου ἡμῶν τὸν χαναναῖον καὶ τὸν χετταῖον καὶ τὸν φερεζαῖον καὶ τὸν ευαῖον καὶ τὸν αμορραῖον καὶ τὸν γεργεσαῖον καὶ τὸν ιεβουσαῖον

11 Se, han som er all jordens Herre, hans pakts-ark går foran eder ut i Jordan.
See, the ark of the agreement of the Lord of all the earth is going over before you into Jordan.
ἰδοὺ ἡ κιβωτὸς διαθήκης κυρίου πάσης τῆς γῆς διαβαίνει τὸν ιορδάνην

12 Så velg nu ut tolv menn av Israels stammer, én mann for hver stamme!
So take twelve men out of the tribes of Israel, a man from every tribe.
προχειρίσασθε ὑμῖν δώδεκα ἄνδρας ἀπὸ τῶν υἱῶν ισραηλ ἕνα ἀφ' ἑκάστης φυλῆς

13 Og så snart prestene som bærer Herrens, all jordens Herres ark, står stille med sine føtter i Jordans vann, da skal Jordans vann - det vann som kommer ovenfra - demmes op, så det står som en vegg.
And when the feet of the priests who take up the ark of the Lord, the Lord of all the earth, come to rest in the waters of Jordan, the waters of Jordan will be cut off, all the waters flowing down from higher up, and will come together in a mass.
καὶ ἔσται ὡς ἂν καταπαύσωσιν οἱ πόδες τῶν ἱερέων τῶν αἰρόντων τὴν κιβωτὸν τῆς διαθήκης κυρίου πάσης τῆς γῆς ἐν τῷ ὕδατι τοῦ ιορδάνου τὸ ὕδωρ τοῦ ιορδάνου ἐκλείψει τὸ δὲ ὕδωρ τὸ καταβαῖνον στήσεται

14 Da nu folket brøt op fra sine telt for å gå over Jordan, og prestene bar paktens ark foran folket,
So when the people went out from their tents to go over Jordan, the priests who took up the ark of the agreement were in front of the people;
καὶ ἀπῆρεν ὁ λαὸς ἐκ τῶν σκηνωμάτων αὐτῶν διαβῆναι τὸν ιορδάνην οἱ δὲ ἱερεῖς ἤροσαν τὴν κιβωτὸν τῆς διαθήκης κυρίου πρότεροι τοῦ λαοῦ

15 og de som bar arken, kom til Jordan, og de prester som bar arken, rørte med sine føtter ved den ytterste rand av vannet - men Jordan gikk over alle sine bredder hele høsttiden igjennem -
And when those who took up the ark came to Jordan, and the feet of the priests who took up the ark were touching the edge of the water (for the waters of Jordan are overflowing all through the tim
the grain-cutting),
ὡς δὲ εἰσεπορεύοντο οἱ ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης ἐπὶ τὸν ιορδάνην καὶ οἱ πόδες τῶν ἱερέων τῶν αἰρόντων τὴν κιβωτὸν τῆς διαθήκης κυρίου ἐβάφησαν εἰς μέρος τοῦ ὕδατος τοῦ ιορ
δάνου ὁ δὲ ιορδάνης ἐπλήρου καθ' ὅλην τὴν κρηπῖδα αὐτοῦ ὡσεὶ ἡμέραι θερισμοῦ πυρῶν

16 da stanset det vann som kom ovenfra, og stod som en vegg langt borte, ved byen Adam, som ligger tett ved Sartan, og det vann som rant ned til ødemarkens hav - Salthavet - løp helt bort, og folket gik
over midt imot Jeriko.
Then the waters flowing down from higher up were stopped and came together in a mass a long way back at Adam, a town near Zarethan; and the waters flowing down to the sea of the Arabah, the S
Sea, were cut off: and the people went across opposite Jericho.
καὶ ἔστη τὰ ὕδατα τὰ καταβαίνοντα ἄνωθεν ἔστη πῆγμα ἓν ἀφεστηκὸς μακρὰν σφόδρα σφοδρῶς ἕως μέρους καριαθιαριμ τὸ δὲ καταβαῖνον κατέβη εἰς τὴν θάλασσαν αραβα θάλασσαν ἁλός ἕως εἰς τὸ
τέλος ἐξέλιπεν καὶ ὁ λαὸς εἱστήκει ἀπέναντι ιεριχω

17 Men prestene som bar Herrens pakts-ark, stod på tørr grunn midt i Jordan uten å røre sig; og hele Israel gikk tørrskodd over, inntil hele folket var kommet vel over Jordan.
And the priests who took up the ark of the agreement of the Lord kept their places, with their feet on dry land in the middle of Jordan, while all Israel went over on dry land, till all the nation had go
over Jordan.
καὶ ἔστησαν οἱ ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης κυρίου ἐπὶ ξηρᾶς ἐν μέσῳ τοῦ ιορδάνου καὶ πάντες οἱ υἱοὶ ισραηλ διέβαινον διὰ ξηρᾶς ἕως συνετέλεσεν πᾶς ὁ λαὸς διαβαίνων τὸν ιορδάνη

1 Da nu hele folket var kommet vel over Jordan, sa Herren til Josva:
Now when all the nation had come to the other side of Jordan, the Lord said to Joshua,
καὶ ἐπεὶ συνετέλεσεν πᾶς ὁ λαὸς διαβαίνων τὸν ιορδάνην καὶ εἶπεν κύριος τῷ ἰησοῦ λέγων

2 Velg ut tolv menn av folket, én mann av hver stamme,
Take twelve men from the people, a man for every tribe,
παραλαβὼν ἄνδρας ἀπὸ τοῦ λαοῦ ἕνα ἀφ' ἑκάστης φυλῆς

3 og byd dem og si: Ta op her fra Jordans bunn tolv stener, fra det sted hvor prestenes føtter står, og hold dem ferdige, og bær dem med eder over og legg dem ned på det sted hvor I blir denne natt ov
And say to them, Take up from the middle of Jordan, from the place where the feet of the priests were resting, twelve stones, and take them over with you and put them down in the place where you t
your rest tonight.
σύνταξον αὐτοῖς λέγων ἀνέλεσθε ἐκ μέσου τοῦ ιορδάνου ἑτοίμους δώδεκα λίθους καὶ τούτους διακομίσαντες ἅμα ὑμῖν αὐτοῖς θέτε αὐτοὺς ἐν τῇ στρατοπεδείᾳ ὑμῶν οὗ ἐὰν παρεμβάλητε ἐκεῖ τὴν νύκτ
α

4 Da lot Josva de tolv menn kalle som han hadde valgt blandt Israels barn, én mann for hver stamme.
So Joshua sent for the twelve men, whom he had ready, one man out of every tribe of the children of Israel,
καὶ ἀνακαλεσάμενος ἰησοῦς δώδεκα ἄνδρας τῶν ἐνδόξων ἀπὸ τῶν υἱῶν ισραηλ ἕνα ἀφ' ἑκάστης φυλῆς

5 Og Josva sa til dem: Gå foran Herrens, eders Guds ark ut i Jordan og ta hver sin sten op på skulderen, efter tallet på Israels barns stammer!
And he said to them, Go over before the ark of the Lord your God into the middle of Jordan, and let every one of you take up a stone on his back, one for every tribe of the children of Israel:
εἶπεν αὐτοῖς προσαγάγετε ἔμπροσθέν μου πρὸ προσώπου κυρίου εἰς μέσον τοῦ ιορδάνου καὶ ἀνελόμενος ἐκεῖθεν ἕκαστος λίθον ἀράτω ἐπὶ τῶν ὤμων αὐτοῦ κατὰ τὸν ἀριθμὸν τῶν δώδεκα φυλῶν τοῦ ι
σραηλ

6 Disse stener skal være et tegn blandt eder. Når eders barn i fremtiden spør: Hvad er dette for stener?
So that this may be a sign among you; when your children say to you in time to come, What is the reason for these stones?
ἵνα ὑπάρχωσιν ὑμῖν οὗτοι εἰς σημεῖον κείμενον διὰ παντός ἵνα ὅταν ἐρωτᾷ σε ὁ υἱός σου αὔριον λέγων τί εἰσιν οἱ λίθοι οὗτοι ὑμῖν

7 da skal I si til dem: Jordans vann delte sig foran Herrens pakts-ark; da den drog ut i Jordan, delte Jordans vann sig, og disse stener skal være til et minne om dette for Israels barn til evig tid.
Then you will say to them, Because the waters of Jordan were cut off before the ark of the Lord's agreement; when it went over Jordan the waters of Jordan were cut off: and these stones will be a si
for the children of Israel, keeping it in their memory for ever.
καὶ σὺ δηλώσεις τῷ υἱῷ σου λέγων ὅτι ἐξέλιπεν ὁ ιορδάνης ποταμὸς ἀπὸ προσώπου κιβωτοῦ διαθήκης κυρίου πάσης τῆς γῆς ὡς διέβαινεν αὐτόν καὶ ἔσονται οἱ λίθοι οὗτοι ὑμῖν μνημόσυνον τοῖς υἱοῖς
ισραηλ ἕως τοῦ αἰῶνος

8 Israels barn gjorde som Josva bød, og tok tolv stener op av Jordan, således som Herren hadde sagt til Josva, efter tallet på Israels barns stammer, og de bar dem med sig over til det sted hvor de blev natten over, og la dem ned der.
So the children of Israel did as Joshua gave them orders, and took twelve stones from the middle of Jordan, as the Lord had said to Joshua, one for every tribe of the children of Israel; these they tool across with them to their night's resting-place and put them down there.
